РА
8057.5
И61
Апо

В. М. Истринъ.

АПОКРИФЪ

ОБЪ

ІОСИФѢ И АСЕНЕФѢ.

МОСКВА.
Типографія Г. Лисснера и А. Гешеля,
ПРЕЕМН. Э. ЛИССНЕРА и Ю. РОМАНА.
Воздвиженка, Крестовоздвиженскій пер., д. Лисснера.
1898.

Пр. 1935

(Изъ второго тома Трудовъ Славянской Комиссіи при Императорскомъ Московскомъ Археологическомъ Обществѣ.)

Печатается на основаніи постановленія Императорскаго Московскаго Археологическаго Общества.

Председатель Графиня ***Уварова.***

БИБЛИОТЕКА
КОММУНИСТИЧЕСКОЙ
АКАДЕМИИ.
3360
25

Апокрифъ объ Іосифѣ и Асенефѣ.

Чл.-корр. В. М. Истрина.

Апокрифъ издается по двумъ редакціямъ: лѣвый столбецъ страницы представляетъ древнюю редакцію апокрифа, а правый — новогреческую. Древняя редакція издается по списку Ватиканской библ. cod. Palatinus № 17, X—XI в., лл. 118ᵛ—134ᵛ, а варіанты къ нему взяты изъ списка той же библіотеки cod. Palatinus № 364, XV в., лл. 293 и сл.— Новогреческая редакція издается по списку Бодлеянской библ. cod. Thomas-Roe № 5. Орфографія списка исправлена по обычнымъ правиламъ.

Ἐξομολόγησις καὶ προσευχὴ Ἀσενὲθ θυγατρὸς Πεντεφρῆ ἱερέως[1]).

I. Ἐγένετο ἐν τῷ πρώτῳ ἔτει τῶν[2]– ἑπτὰ ἐτῶν[2] τῆς εὐθηνίας, ἐν τῷ μηνὶ τῷ δευτέρῳ πέμπτῃ τοῦ μηνὸς ἐξαπέστειλεν Φαραὼ τὸν Ἰωσὴφ[3] τῷ τετάρτῳ μηνὶ τοῦ πρωτου ἔτους ὀγδόῃ καὶ δεκάτῃ τοῦ μηνὸς[4] εἰς τὰ ὅρια[5] Ἡλιουπόλεως. καὶ[6]– ἦν συνάγων[6] τὸν σῖτον τῆς χώρας ἐκείνης[7] ὡς τὴν ἄμμον τῆς θαλάσσης. ἦν δὲ ἀνὴρ ἐν τῇ πόλει[8] ἐκείνῃ σατράπης[9]– τοῦ Φαραὼ[9] καὶ ἦν ὁ ἀνὴρ πλούσιος σφόδρα καὶ φρόνιμος καὶ ἐπιεικής, καὶ ἦν σύμβουλος τοῦ Φαραὼ[10] καὶ[11]– τὸ ὄνομα αὐτοῦ Πεντεφρῆς. καὶ ἦν Πεντεφρῆς πρῶτος τῆς Ἡλιουπόλεως[11]. καὶ ἦν θυγάτηρ τῷ[12] Πεντεφρῇ[12] ὡς ἐτῶν ὀκτωκαίδεκα, παρθένος μεγάλη[13]– καὶ[13] ὡραία καὶ[14]– εὐπρεπὴς τὸ κάλλος[14] σφόδρα ὑπὲρ πᾶσαν παρθένον ἐπὶ[15]– τὴν γῆν[15]. καὶ αὕτη οὐδένα εἶχεν ὅμοιον τῶν θυγατέρων τῶν Αἰγυπτίων καὶ[16] τῶν Ἑβραίων. καὶ ἦν μεγάλη ὡς Σάρρα καὶ ὡραία ὡς Ρεβέκα καὶ καλὴ[17]– ὡς[17] Ραχήλ. καὶ[18]– ἦν τὸ ὄνομα τῇ παρθένῳ ἐκείνῃ Ἀσενέθ[18]. καὶ ἀπῆλθεν[19] ἡ φήμη

Βίος καὶ ἐξομολόγησις Ἀσενὲθ θυγατρὸς Πεντεφρῆ ἱερέως Ἡλιουπόλεως καὶ πῶς ἔλαβεν αὐτὴν ὁ Ἰωσὴφ εἰς γυναῖκαν.

I. Εἰς τὸν πρῶτον χρόνον τῆς εὐθηνίας ἐξαπέστειλεν ὁ Φαραὼ τὸν Ἰωσὴφ εἰς τὰ ὅρη τῆς Ἡλιουπόλεως νὰ συνάξῃ τὸν σῖτον τῆς ἐπαρχίας ἐκείνης. ἦτον δέ τις ἄνθρωπος εἰς τὸν τόπον ἐκεῖνον σατράπης τοῦ Φαραὼ καὶ ἱερεὺς τοῦ τόπου ἐκείνου τῶν εἰδώλων καὶ ἔλεγάν τον Πεντεφρῆν. καὶ ὄχι ὁ Πεντεφρῆς ὁ ἀρχιμάγειρος, ὅπου εἶχεν τὸν Ἰωσήφ, ἀλλὰ ἄλλος Πεντεφρῆς καὶ αὐτὸς ὀνομαζόμενος. εἶχε δὲ θυγατέραν ὀνόματι Ἀσενὲθ ὡραιοτάτην καὶ πανεύμορφον κατὰ πολλὰ καὶ απο ὅλες τὲς θυγατέρες τῶν ἐχόντων τοῦ τόπου ἐκείνου εὐμορφότερη. ἦτον δὲ χρόνων δεκατεσσάρων, λάμπουσα μὲν ὡς σελήνη καὶ ἀστράπτουσα ὡς ἥλιος, μεγάλη μὲν ως ἡ Σάρρα, ὑπερλάμπροσα δὲ Ραχὴλ καὶ Ρεβέκκας. καὶ ἐξῆλθεν ἡ φήμη τοῦ κάλλους αὐτῆς εἰς ὅλην τὴν οἰκουμένην. διὰ τοῦτο καὶ κάποιος ποιητὴς εὐγωμιάζοντάς την ἔλεγεν· „κάλλει παρῆλθεν ἥλιος μὲν ἀστέρας, ἡ δ' Ἀσενέθ μοι τὰς ἀφ' ἡλίου κόρας". νοῦν, ὁ μὲν ἥλιος εἰς τὸ περισσόν του κάλλος ἐπερίσσευσεν καὶ ἐπέ-

---

[1] Заглавіе: *Βίος καὶ πολιτεία καὶ ἐξομολόγησις Ἀσενὲθ θυγατρὸς Πεντεφρὶ ἱερέως καὶ σατράπου Ἡλιουπόλεως καὶ πῶς ἔλαβεν αὐτὴν ὁ πάγκαλος Ἰωσὴφ γυναῖκα.* [2—2] нѣтъ. [3] доб. *τοῦ περιελθεῖν πᾶσαν γῆν Αἰγύπτου.* [4] доб. *ἦλθεν Ἰωσήφ.* [5] *ὄρη.* [6—6] *τοῦ συνάξαι.* [7] нт. [8] *χώρα.* [9—9] *ὀνόματι Πεντεφρὶς ἱερεὺς ὢν Ἡλιουπόλεως καὶ σατράπης τοῦ Φαραὼ καὶ ἀρχὴ πάντων σατραπῶν καὶ τῶν μεγιστάνων Φαραώ.* [10] доб. *ὅτι ὑπὲρ πάντων συνιών.* [11] нт. [12] *αὐτῷ ὀνόματι Ἀσενέθ.* [13—13] нт. [14—14] пт. [15] *τῆς τότε πάσης γῆς.* [16] *ἀλλ' ἦν κατὰ πάντα ὁμοία θυγατέρων.* [17—17] нт. [18—18] нт. [19] *διέδραμεν.*

τοῦ κάλλους αὐτης εἰς πᾶσαν τὴν γην ἐκείνην καὶ ἕως[1–] περάτων αὐτῆς[1] καὶ[2–] ἐμνηστεύοντο αὐτην πάντες οἱ υἱοὶ τῶν σατραπῶν καὶ τῶν μεγιστάνων καὶ οἱ τῶν βασιλέων νεανίσκοι πάντες δυναστῶν[2]. καὶ ἦν ἔρις πολλὴ ἐν αὐτοῖς δι' αὐτὴν καὶ ἐπειρῶντο πολεμῆσαι[3–] δι' Ἀσενέθ[3]. καὶ ἤκουσεν[4] περὶ αὐτῆς ὁ υἱὸς τοῦ Φαραὼ ὁ πρωτότοκος καὶ ἐξελιπάρει τὸν πατέρα αὐτοῦ τοῦ δοῦναι αὐτὴν αὐτῷ εἰς γυναῖκα καὶ (119) ἔλεγεν αὐτῷ· „δός μοι τὴν[5] Ἀσενέθ[5] τὴν θυγατέρα Πεντεφρῆ τοῦ[6] πρώτου[6] Ἡλιουπόλεως εἰς γυναῖκα". καὶ εἶπεν αὐτῷ ὁ πατὴρ αυτοῦ Φαραώ· „ἵνα τί σὺ ζητεῖς γυναῖκα χείρόν[7] σου βασιλεὺς ὢν[8] πάσης οἰκουμένης[9]; οὐχί, ἀλλ' ἰδοὺ ἡ θυγάτηρ τοῦ βασιλέως[10] Ἰωακὶμ κατηγγύηταί σου καὶ βασίλισσά ἐστιν καλὴ[11] σφόδρα. καὶ λαβὲ σεαυτῷ εἰς γυναῖκα".

II. Καὶ ἦν Ἀσενὲθ ἐξουθενοῦσα καὶ καταπτύουσα πάντα[12–] ἄνδρα[12] καὶ ἀνὴρ οὐδέποτε ἑώρακεν αὐτήν, καθότι ἦν πύργος τῷ Πεντεφρῇ, παρακείμενος ἐν τῇ οἰκίᾳ αὐτοῦ, μέγας καὶ ὑψηλὸς σφοδρα. καὶ ἐπάνω τοῦ πυργου ἦν ὑπερῷον, ἔχον θαλάμους δέκα. καὶ ἦν ὁ πρῶτος θάλαμος μέγας καὶ εὐπρεπὴς[13] καὶ λίθοις πορφυροῖς κατεστρωμένος καὶ οἱ τύχοι αὐτοῦ[14–] λίθοις ποικίλοις καὶ τιμίοις[14] πεπλακωμένοι. καὶ ἦν ἡ ὀροφὴ τοῦ θαλάμου ἐκείνου χρυσῆ καὶ ἐντὸς τοῦ θαλάμου ἐκείνου ἦσαν πεπηγμένοι[15] θεοὶ τῶν Αἰγυπτίων, ὧν οὐκ ἦν ἀριθμός, χρυσοῖ τε καὶ ἀργυροῖ. καὶ πάντας ἐκείνους ἐσέβετο Ἀσενὲθ καὶ ἐφοβεῖτο αὐτοὺς καὶ θυσίας αὐτοῖς ἐπετέλει. ἦν δὲ καὶ ὁ δεύτερος θάλαμος ἔχων[16] καὶ τὰς θήκας Ἀσενέθ. ρασεν τὸ κάλλος τῶν ἀστέρων, ἡ δὲ Ἀσενὲθ ἐπέρασεν καὶ ἐπερίσσευσεν εἰς τὴν ὡραιότητα ὅλας τὰς κόρας καὶ τὰς γυναῖκας, ὁποῦ εἶναι ἀπάνω εἰς τὴν γῆν. τοῦτον οὖν κάλλος ἔχουσα η Ἀσενὲθ ἅμα δὲ καὶ εὐγένειαν γονέων καὶ πλουσιότητα βίου, εἶχε καὶ πολλοὺς ἄρχοντας καὶ βασιλέων υἱούς, ὁποῦ τὴν ἐγύρευαν εἰς γυναῖκα. ἀλλὰ ἐκείνη, ἐπειδὴ γυναῖκα ἦτον, εἶχεν τὴν πολύπλοκον κενοδοξίαν καὶ ἔπαρσιν τῶν γυναικῶν, ὡς καθὼς τὸ λέγει καὶ κάποιος ποιητής· „κάλλος πλοῦτος τε καὶ γένος δάμαρσιν μὲν ὄγκον εἰσάγει πέλωρον δόξης ἄγων" (178), ἤγουν ὅταν αἱ γυναῖκες ἔχουσιν κάλλος καὶ εὐγένειαν καὶ πλοῦτον, τότ' ἔχουν μέγαλον καὶ πολὺν βάρος τῆς κενοδοξίας, ὅμως ἂν καὶ η Ἀσενὲθ καὶ ἦτον τοιαύτη ἀλλαζωνικὴ καὶ εἰδωλολάτρισσα. ἀλλὰ θέλετε ἀκοῦσαι μετὰ ταῦτα, (ποίων) χαρίτων ἠξιώθηκεν ἀπὸ θεοῦ. ὡς δὲ εἴπομεν, οὐ μονον οἱ τῶν ἀρχόντων καὶ τῶν μεγιστάνων υἱοὶ ἤκουσαν περὶ τοῦ κάλλους αὐτῆς καὶ ἐγύρευαν αὐτὴν εἰς γυναῖκα, ἀλλὰ καὶ αὐτὸς ὁ τοῦ βασιλέως υἱός, λέγω τοῦ Φαραώ, ὁ πρωτότοκος ἀνήγγει(λε) λέγοντας πατέρα του τὸν Φαραω περὶ αὐτῆς. ἀλλ' ἐκεῖνος μὲν ὁ Φαραώ, ἔσοντας ὁποῦ ἐγύρευαν τὸν υἱόν του ἄλλοι βασιλεῖς ἀπὸ ἄλλους τόπους διὰ γαμβρόν τους, δὲν ἐκαταδέχετο τὴν Ἀσενέθ. μάλιστα ἐγνώριζεν, ὅτι καὶ ἡ Ἀσενὲθ εἶναι κενόδοξος καὶ μεγαλικὴ καὶ δὲν καταδέχεται πασαέναν ἄνθρωπον.

II. Ὅμως ὁ Πεντεφρῆς ἐκεῖνος ὁ πατὴρ τῆς Ἀσενὲθ εἶχεν πῦργον ὑψηλὸν μέσα εἰς τὴν σπίτιν του καὶ ἐπάνω τοῦ πύργου ἐκείνου ἦτον ἀνώγεον υψηλὸν καὶ εἶχεν τὸ ἀνώγεον ἐκεῖνο δέκα θαλάμους ἤγουν κάμαρες ἢ τζάμπρες. ἦτον δὲ ὁ πρῶτος θάλαμος μεγάλος καὶ ωραιότατος εὐπρεπὴς καὶ λαμπρός. καὶ τὸ ἔδαφος αὐτοῦ ὅλον ἦτον μὲ μάρμαρα πορφυρᾶ, ἀλλὰ καὶ ὁ τεῖχος αὐτοῦ τοῦ θαλάμου μὲ τοιαῦτα μάρμαρα ἦτον κτισμένος. ἦτον δὲ καὶ τὸ σκέπασμα ὁλόχρυσον ἤγουν ἡ στέγη μέσα. λοιπὸν εἰς αὐτὸν τὸν θάλαμον εἶχεν ἡ Ἀσενὲθ ὅλα τὰ εἴδωλα, λέγω τοὺς χρυσοὺς καὶ ἀργυροὺς θεοὺς τοῦ πατρός της καὶ ἐσέβετο καὶ ἐπροσκύνα αὐτοὺς ἡ Ἀσενὲθ μετὰ φόβου καὶ εὐλαβείας. ὁ δὲ δεύτερος θάλαμος εἶχεν μέσα ὅλα τὰ στολίδα

1—1 *μέχρι τὴν οἰκουμένην.* 2—2 *ἕνεκεν τούτου τῶν μεγιστάνων πάντων ἔφησαν (υἱοὶ) τοῦ λαβεῖν αὐτὴν εἰς μνηστείαν, οὐ μὴ δὲ τῶν μεγιστάνων ἀλλὰ καὶ τῶν βασιλέων.* 3—3 *πολεμεῖν ἀλλήλους.* 4 *ἀκούσας.* 5 НТ. 6 НТ. 7 *ἐλάχιστον.* 8 *σύ.* 9 *τῆς γῆς.* 10 доб. *Μωάβ.* 11 *ὡραία.* 12—12 *ἀλαζὼν καὶ ὑπερήφανος.* 13 доб. *πάνυ.* 14—14 *αὐτῶν ὑπῆρχον λίθων τιμίων καὶ ποικίλων.* 15 НТ. 16 доб. *τὸν αὐτὸν κόσμον τῆς φορεσίας.*

καὶ ἦν χρυσὸς ἐν αὐτῷ καὶ ἄργυρος πολὺς καὶ ἱματισμὸς χρυσόϋφος[1] καὶ λίθοι ἐκλεκτοὶ πολυτελεῖς καὶ ὀθόναι ἐπίσημοι. καὶ ἐκεῖ ἦν ὁ κόσμος τῆς παρθενίας αὐτῆς. καὶ[2–] ὁ τρίτος θάλαμος ἦν ἔχων πάντα ἀγαθὰ τῆς γῆς[2] καὶ ἦν ταμεῖον τῆς Ἀσενέθ. καὶ τοὺς λοιποὺς ἑπτα θαλάμους εἶχον ἑπτὰ παρθένοι μία ἑκάστη[3]. καὶ αὗται ἦσαν διακονοῦσαι τῇ Ἀσενὲθ καὶ[4–] ἦσαν[4] ὁμήλικαι ἐν μιᾷ νυκτὶ τεχθεῖσαι σὺν[5–] τῇ Ἀσενέθ,[5] καὶ ἦσαν καλαὶ σφόδρα ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ ἀνὴρ οὐδέποτε ὡμίλει αὐταῖς (119[v]) ἢ παιδίον ἄρρεν. καὶ ἦσαν θυρίδες τρεῖς τῷ μεγάλῳ θαλάμῳ τῆς Ἀσενέθ, ὅπου ἐτρέφετο ἡ παρθενία αὐτῆς. καὶ ἦν ἡ μία θυρὶς[6] ἐπιβλέπουσα ἐπὶ τὴν αὐλὴν κατα ἀνατολὰς καὶ ἡ δευτέρα ἦν ἀποβλέπουσα[7] πρὸς βορρᾶν καὶ[8–] πρὸς τὸ ἄμφοδον. καὶ[8] κλίνη χρυσῆ ἵστατο ἐν τῷ θαλάμῳ ἀποβλέπουσα πρὸς ἀνατολάς. καὶ ἦν ἡ κλίνη ἐστρωμένη πορφύρα[9–] χρυσοϋφὴς[9] ἐξ ἰακίνθου[10] καὶ βύσσου καθυφασμένη.[11] ἐν ταύτῃ τῇ κλίνῃ ἐκάθευδεν Ἀσενὲθ μόνη καὶ ἀνὴρ καὶ γυνὴ οὐδέποτε ἐκάθησαν ἐπ' αὐτῇ πλὴν[12–] τῆς Ἀσενὲθ μόνης[12]. καὶ ἦν αὐλὴ μεγάλη παρακειμένη τῇ οἰκίᾳ κύκλωθεν καὶ κύκλῳ[13] τεῖχος τῆς[14–] αὐλῆς παρακείμενον ὑψηλὸν σφόδρα[14] μεγάλοις λίθοις τετραγωνίοις οἰκοδομημένον. καὶ πυλῶνες ἦσαν τῇ[15] αὐτῇ[15] τέσσαρες σιδηρωμένοι καὶ ταύτας ἐφύλασσον ἀνὰ δέκα οκτὼ ἄνδρες δυνατοὶ νεανίσκοι ἔνοπλοι. καὶ ἦσαν πεφυτευμένα ἔνδον τῆς αὐλῆς παρὰ τὸ χεῖχος δένδρα ὡραῖα παντοδαπὰ καρποφόρα καὶ[16–] πᾶς ὁ καρπὸς αὐτῶν πέπειρος[16]. καιρὸς γὰρ ἦν τοῦ θερισμοῦ. καὶ ἦν ἐκ δεξιῶν τῆς αὐλῆς πηγὴ ὕδατος πλουσία καὶ ὑποκάτωθεν τῆς πηγῆς ληνὸς ἦν μεγάλη δεχομένη τὸ ὕδωρ τῆς πηγῆς ἐκείνης. ἔνθεν ἐπορεύετο ποταμὸς διὰ[17–] μέσης τῆς αὐλῆς[17] καὶ ἐπότιζε πάντα[18–] τὰ δένδρα τῆς αὐλῆς ἐκείνης[18].

III. Καὶ ἐγένετο ἐν τῷ πρώτῳ ἔτει τῶν[19–] ἑπτὰ ἐτῶν[19] τῆς εὐθηνίας ἐν τῷ τετάρτῳ μηνὶ ὀγδόῃ καὶ[20] εἰκάδι[20] τοῦ μηνὸς ἦλθεν Ἰωσὴφ εἰς τὰ ὅρια Ἡλιουπόλεως καὶ[21–] συνάγων ἦν[21] τὸν σῖτον τῆς[22–] χώρας ἐκείνης[22]. (120) καὶ ὡς καὶ τὴν κόσμησιν τῆς ὡραιοτητος τῆς Ἀσενέθ, καὶ ἦτον καὶ ἐκεῖνος εὐστολισμένος καὶ ἔστραπτεν καὶ ἔλαμπεν ἀπὸ τὰ χρυσοῦφασμένα ἐκεῖνα καὶ λαμπρὰ φορέματα. ὁ δὲ τρίτος θάλαμος ἦτον καὶ αὐτὸς ὅμοιος τοῦ δευτέρου καὶ εἶχε μέσα ὅλα τὰ φαγητὰ καὶ ποτὰ καὶ τὰ ἀγαθὰ τῆς γῆς. οἱ δὲ ἄλλοι ἑπτὰ θάλαμοι ἦσαν μὲν καὶ ἐκεῖνοι γεμμάτοι ἀπὸ φορέματα καὶ ἄλλες ὑπηρεσίες. εἰ μὴ ἐκεῖ εἶχεν ἡ Ἀσενὲθ ἑπτὰ κόρες παρθένους, ὁποῦ τὴν ἔκαμναν ὑπηρεσίαν, καὶ ἐκάθετο πᾶσα μία εἰς ἕνας θάλαμον, τὰς ὁποίας αὐτὰς δὲν τὲς ἐσυντύχαινεν οὐδὲ τὲς ἔβλεπεν ἄνδρας. ὁ δὲ μέγας [λαμπρό]τατος ὁ πρῶτος θάλαμος εἶχεν τρεῖς θύρας, καὶ η μὲν μία ἔβλεπεν κατὰ ἀνατολάς, ἡ δὲ ἄλλη πρὸς τὸν βορρᾶν, ἡ δὲ ἄλλη πρὸς μεσημβρίαν. εἰς τὴν θύραν λοιπόν, ὁποῦ ἔβλεπε κατ' ἀνατολάς, ἦτον μία κλίνη χρυσὴ ἐστρωμμένη πανεξαίρετος μὲ χρυσὰ πρόσωπα καὶ μὲ τὸ μαργαρίτον. τὸ δὲ χρυσάφιν ἦτον μὲ πορφυρὸν μετάξιν κεκλωσμένον. εἰς αὐτὴν λοιπὸν τὴν κλίνην τινὰς δὲν ἐκοιμήθη, μόνον ἡ Ἀσενέθ. εἶχε δὲ ὁ πῦργος αὐτῆς καὶ τὸ σπίτι τοῦ πατρός της αὐλὴν μεγάλην, ἡ ὁποία ἦτον ἐστολισμένη (178[v]) μὲ δένδρα πολυκαρπὰ καὶ ὡραιότατα, ἀλλὰ καὶ πισκῆναν εἶχεν ὡραιοτάτην, ὁποῦ ἔτρεχεν τὸ νερόν, εἰς τὴν ὁποίαν ἦσαν θαυμαστὲς καὶ πολυποίκιλες τέχνες μὲ κασσίτερον καὶ μὲ ἀσῆμιν. καὶ ἦσαν ἐκεῖ γλυπτὰ εἴδωλα καὶ πουλία καὶ ἐλάφια, ἀπὸ τὰ ὁποῖα ἔβγαινε καὶ ἔτρεχεν τὸ νερόν, ἄλλο ἀπὸ τὰ στόματα τῶν εἰδώλων ἐκείνων, ἀλλ' ἀπὸ τὲς μύτες τους καὶ ἄλλο ἀπὸ τὰ ὀφτία τους. εἶχε δὲ αὐλὴ τοῦ πατρὸς αὐτῆς τέσσαρας θύρας σιδηρὰς καὶ ἐφύλαγαν αὐτὰς σαράντα στρατιῶτες ἁρματωμένοι ἀπὸ δέκα ἄνθρωποι εἰς τὴν μίαν θύραν, διότι ὁ Πεντεφρῆς ἦτον μέγας ἄνθρωπος εἰς τιμήν, ὅτι ἦτον σατράπης τοῦ Φαραώ.

III. Συνάγοντος δὲ τοῦ Ἰωσὴφ τὸν σῖτον καὶ πλησιάσαντος σιμὰ εἰς τὸν τόπον ἐκεῖνον, ἔστειλεν δώδεκα στρατιώτας νὰ ὑπάγουν νὰ δώσουν λόγον εἰς τὸν Πεντεφρῆ, ὅτι ἔρχεται ὁ Ἰωσὴφ καὶ νὰ ἑτοιμάσῃ τόπον διὰ νὰ κονέψῃ, διότι

χρυσιουυφαντὸς ἄπειρος. 2—2 нт. 3 доб. *αὐτῶν θάλαμον.* 4—4 *διότι.* 5—5 нт. 6 *μεγάλη σφόδρα.* 7 доб. *μεσεμβρίαν καὶ ἡ γ΄ βλέπουσα.* 8—8 *ἐπὶ τὸ ἄφοδον.* 9—9 *πορφύραν χρυσοΰφαν.* 10 доб. *καὶ πορφύρου.* 11 *καθηφαμένη.* 12—12 нт. 13 *κύκλωθεν ὑπηλός.* 14—14 нт. 15 *ἐν τῇ αὐλῇ.* 16—16 *πεπείρου ὄντος καρποῦ.* 17—17 нт. 18—18 *τὰ δένδρα ὅλα.* 19—19 нт. 20 нт. 21—21 *συνάξαι.* 22—22 *Ἡλιουπόλεως.*

ἤγγισεν τῇ πόλει ἐκείνῃ Ἰωσήφ, ἀπέστειλεν ἔμπροσθεν αὐτοῦ ἄνδρας δώδεκα πρὸς Πεντεφρῆ τὸν[1–] ἱερέα[ʿ] Ἡλιουπόλεως[1] λέγων· „πρός σε καταλύσω σήμερον, ὅτι ὥρα μεσημβρίας ἐστὶν καὶ[2] ἀρίστου καὶ καύσων μέγας ἐστὶν τοῦ ἡλίου, καὶ[3] ἀναψύξω ὑπὸ τὴν στέγην σου“[4]. καὶ ἤκουσεν Πεντεφρῆς καὶ ἐχάρη χαρὰν[5] μεγάλην[5] καὶ εἶπεν· „εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Ἰωσήφ“[6]. καὶ ἐκάλεσεν Πεντεφρῆς τὸν ἐπάνω τῆς οἰκίας αὐτοῦ καὶ εἶπεν αὐτῷ[7]. „σπεῦσον καὶ εὐτρέπισον τὴν οἰκίαν μου καὶ δεῖπνον μέγαν ἑτοίμασον[8], διότι Ἰωσὴφ ὁ δυνατὸς τοῦ θεοῦ ἔρχεται πρὸς ἡμᾶς σήμερον“. καὶ ἤκουσεν Ἀσενέθ, ὅτι ἥκασιν ἐξ ἀγροῦ τῆς κληρονομίας αὐτῶν ὁ πατὴρ καὶ ἡ μήτηρ αὐτῆς, καὶ ἐχάρη[9] καὶ εἶπεν· „πορεύσομαι καὶ ὄψομαι τὸν[10–] πατέρα μου, ὅτι ἥκασιν ἐξ ἀγροῦ τῆς κληρονομίας ἡμῶν“[10]. καὶ ἔσπευσεν[11–] εἰς τὸν θάλαμον, ὅπου ἔκειντο αἱ στολαὶ αὐτῆς[11], καὶ ἐνεδύσατο στολὴν βυσίνην ἐξ ἰακίνθου χρυσοῦφῆ[12] καὶ ἐζώσατο[13] ζώνην χρυσῆν καὶ ψέλλια περὶ τὰς χεῖρας καὶ τοὺς πόδας αὐτῆς περιεβάλλετο[14] ἀναξυρίδας χρυσᾶς καὶ περὶ τὸν τράχηλον αὐτῆς περιεβάλλετο κόσμον. καὶ λίθοι πολυτελεῖς ἦσαν πάντοθεν ἔχοντες τὰ ὀνόματα τῶν θεῶν τῶν Αἰγυπτίων ἐγκεχολασμένα[15] πάντοθεν[16] ἐπί[17–] τε τοῖς ψελλίοις καὶ τοῖς λίθοις καὶ τὰ πρόσωπα τῶν εἰδώλων ἦσαν ἐκτετυπωμένα ἐν τοῖς λίθοις[17]. καὶ ἔθηκεν ἐπὶ τῆς κεφαλῆς αὐτῆς διάδημα καὶ[18–] περὶ τοὺς κροτάφους αὐτῆς[18] καὶ θέριστρον κατεκάλυψεν τὴν κεφαλὴν αὐτῆς.

IV. Καὶ[19] ἔσπευσεν[19] καὶ κατέβη τῇ[20] κλίμακι[20] ἐκ τοῦ ὑπερῴου αὐτῆς καὶ ἦλθεν πρὸς[21–] τὸν πατέρα καὶ τὴν μητέρα[21] αὐτῆς καὶ ἠσπάσατο[22–] αὐτούς[22]. καὶ ἐχάρη (120ᵛ) Πεντεφρῆς καὶ ἡ γυνὴ αὐτοῦ ἐπὶ τῇ θυγατρὶ αὐτῶν Ἀσενὲθ χαρὰν μεγάλην, διότι[23–] ἐθεώρουν αὐτὴν οἱ γονεῖς αὐτῆς[23] κεκοσμημένην ὡς νύμφην θεοῦ. καὶ ἐξήνεγκαν πάντα τὰ ἀγαθά[24], ὅσα ἐνήνοχαν[25] ἐκ τοῦ ἀγροῦ τῆς κληρονομίας αὐτῶν.[26] καὶ ἐχάρη Ἀσενὲθ ἐπὶ τοῖς ἀγαθοῖς ἐπὶ τῇ ὀπώρᾳ καὶ τῇ σταφυλῇ καὶ τοῖς φοίνιξι, ἐπειδὴ ἦτον καῦμα καὶ θέρμη τοῦ ἡλίου, δὲν ἐπεριπάτει πλέον ὁ Ἰωσὴφ διὰ τὸν κόπον. ἐκόνευσαν δὲ οἱ βασιλεῖς καὶ οἱ βασιλικοὶ ἄνθρωποι εἰς τὸ σπίτιν τοῦ Πεντεφρῆ, ὅτι ἐκεῖνος ἦτον, ὡς εἴπομεν, προεστὼς τοῦ τόπου ἐκείνου καὶ μεγιστάνος. τὴν ὥραν δέ, ὁποῦ ὑπῆγαν οἱ δώδεκα ἐκεῖνοι στρατιῶται νὰ δώσουσι λόγον τῷ Πεντεφρῇ, ηὗραν αὐτὸν τὴν ὥραν, ὁποῦ ἦλθεν μὲ τὴν γυναῖκά του ἀπὸ τὸν ἀγρὸν κληρονομίας αὐτῶν, καὶ εἶπάν τον, πῶς ἔρχεται ὁ Ἰωσήφ. ἀκούσας δὲ ὁ Πεντεφρῆς ἐχάρη χαρᾷ μεγάλῃ καὶ εἶπεν· „ἂν εἶναι εὐλογημένος ὁ ἀφέντης ὁ θεὸς τοῦ Ἰωσήφ, νὰ κάμωμεν ὡς ὁρίζει“. τότε ὁ Πεντεφρῆς παρευθὺς ἐπρόσταξεν τὸν οἰκονόμον τοῦ σπιτίου του καὶ εἶπέν τον· „σπούδαξε ὀγλήγωρα, φίλε μου, καὶ ὀρδινίασε τὸ ὀσπίτιν καὶ εὐτρέπισον αὐτὸ καὶ κάμνε μεγάλα καὶ καλὰ φαγητὰ καὶ ὡραιότατον τραπέζην ἑτοίμασον, ὅτι ἔρχεται σήμερον πρὸς ἡμᾶς ὁ Ἰωσὴφ ὁ ἀφέντης τοῦ Αἰγύπτου“. καὶ ἔτζη ἐσπούδασεν καὶ ἔκαμεν νὰ ὀρδινιάσῃ ὡς καθὼς τὸν ἐπρόσταξεν ὁ Πεντεφρῆς. οἱ δὲ ἄνθρωποι τοῦ Ἰωσήφ (179) ἐγύρισαν ἀπαντεχαίνοντες τὸν Ἰωσήφ. ἡ δὲ Ἀσενὲθ ὡς ἤκουσεν, ὅτι ἦλθαν οἱ γονεῖς αὐτῆς ἀπὸ τὸν ἀγρὸν τῆς κληρονομίας, ἔδραμε καὶ ἐστολίσθη νὰ ὑπάγῃ νὰ τοὺς χαιρετήσῃ. καὶ ἔβαλε ζώνην χρυσὴν καὶ ἄλλην στολὴν λευκὴν χρυσοφασμένην.

IV. Καὶ ἐλθοῦσα κατεφίλησεν τοὺς γονεῖς αὐτῆς καὶ ἐκάθησεν εἰς τὴν μέσην τους. ἔδωκαν δὲ αὐτὴν καὶ ἀπὸ τὰ ὀπαρικά, ὁποῦ ἤφεραν, καὶ ἔφαγεν. τότε λέγει τὴν ὁ πατὴρ αὐτῆς· „πεφιλημμένη μου θύγατερ, ἤξευρε, ὅτι ἔρχεται σήμερον πρὸς ἡμᾶς ὁ δυνατὸς τοῦ θεοῦ ὁ Ἰωσήφ. καὶ αὐτὸς εἶναι ἄρχοντας καὶ βασιλεὺς πάσης Αἰγύπτου. καὶ αὐτὸς μέλλει νὰ σιτοδοτήσῃ τὸν τόπον μας ἀπὸ τὴν πίναν, ὁποῦ μέλλει νὰ μᾶς ἐπανέβῃ, καὶ εἶναι ἄνθρωπος φοβούμενος τὸν θεον καὶ εἶναι σώφρων ὡσὰν καὶ ἐσένα καὶ

1—1 нт. 2 доб. *καιρός*. 3 *ἵνα*. 4 *τοῦ οἴκου σου*. 5 *σφόδρα*. 6 доб. *ὅτι ἄξιον μέγαν τοῦτον ὑποδέξας ἠξίωσε*. 7 *τοῖς ἐν τῇ οἰκίᾳ Πεντεφρίς*. 8 *οἰκονομήσατε*. 9 доб. *σφόδρα*. 10—10 *τοὺς γονεῖς μου ἐρχομένους ἐξ ἀγροῦ αὐτῶν καὶ ἐκ τοῦ παραδείσου. ὥρα ἦν θερισμοῦ*. 11—11 *σπεύσας Ἀσενέθ*. 12 *χρυσοΰφαντον*. 13 нт. 14 нт. 15 *κεκοσμημένα*. 16 *παντα χοῦ*. 17—17 нт. 18—18 нт. 19 нт. 20 нт. 21—21 *εἰς τοὺς γονεῖς*. 22—22 *ἠσπάσαντό την γονεῖς αὐτοῦ*. 23—23 *τῇ αὐτῇ ὡραιότητι*. 24 доб. *βρώσεως*. 25 *ἔφεραν*. 26 доб. *ἐνώπιον τῆς θυγατρὸς αὐτοῦ σταφυλῇ φοίνιξι, περιστεραῖς παντὶ ὡραίῳ τῷ εἴδει καὶ ἥδη τῇ γεύσει*.

νιξιν καὶ ἐπὶ ταῖς περιστεραῖς καὶ ἐπὶ ταῖς ροαῖς καὶ τοῖς σύκοις, διότι ἦσαν πάντα ὡραῖα. καὶ εἶπεν Πεντεφρῆς τῇ θυγατρὶ αὐτοῦ Ἀσενέθ· „τέκνον“[1]. ἡ δὲ εἶπεν· „ἰδοὺ[2]– ἐγώ, κύριε“[2]. καὶ εἶπεν αὐτῇ· „κάθησον δὴ ἀναμέσον ἡμῶν καὶ λαλήσω πρός σε τὰ[3]– ῥήματά μου“[3]. καὶ ἐκάθησεν Ἀσενὲθ ἀναμέσον τοῦ[4]– πατρὸς αὐτῆς καὶ τῆς μητρός[4]. καὶ[5]– ἐκράτησεν ὁ πατὴρ αὐτῆς τῇ χειρὶ αὐτοῦ τῇ δεξιᾷ καὶ εἶπεν αὐτῇ· „τέκνον“. καὶ εἶπεν Ἀσενέθ· „λαλησάτω δὴ ὁ πατήρ μου“. καὶ εἶπεν αὐτῇ Πεντεφρῆς[5]· „ἰδοὺ Ἰωσὴφ ὁ δυνατὸς[6] τοῦ θεοῦ ἔρχεται πρὸς ἡμᾶς σήμερον. καὶ οὗτός ἐστιν ἄρχων πάσης τῆς γῆς Αἰγύπτου καὶ[7]– Φαραὼ κατέστησεν αὐτὸν ἄρχοντα πασης τῆς γῆς ἡμῶν[7]. καὶ αὐτὸς σιτοδοτεῖ πᾶσαν τὴν χώραν καὶ σώζει αὐτὴν ἐκ τοῦ ἐπερχομένου λιμοῦ[8]. καὶ ἔστιν Ἰωσὴφ ἀνὴρ θεοσεβὴς[9] καὶ σώφρων καὶ παρθένος ὡς σὺ σήμερον καὶ ἀνὴρ δυνατὸς ἐν σοφίᾳ καὶ ἐπιστήμῃ καὶ πνεῦμα θεοῦ ἦν ἐπ᾽ αὐτῷ καὶ[10]– χάρις κυρίου ἦν μετ᾽ αὐτοῦ[10]. δεῦρο δή, τέκνον μου[11], καὶ παραδώσω σε αὐτῷ γυναῖκα καὶ[12]– ἔσῃ αὐτῷ εἰς νύμφην[12] καὶ αὐτὸς ἔσται σου νυμφίος εἰς τὸν αἰῶνα χρόνων“. καὶ ὡς ἤκουσεν Ἀσενὲθ τὰ ῥήματα τοῦ πατρὸς αὐτῆς, ἐπεχύθη αὐτῇ ἰδρὼς ἐρυθρὸς πολλοῖς[13] καὶ[14]– ἐθυμώθη[14] ἐν ὀργῇ μεγάλῃ καὶ ἔβλεψε τοῖς (121) ὀφθαλμοῖς αὐτης πλαγίως καὶ εἶπεν[15]· „ἵνα τί λαλεῖ[16]– ὁ κύριός μου ὁ πατὴρ[16] καὶ[17]– βούλεται τοῖς ῥήμασιν αὐτου[17] παραδοῦναί με εἰς[18] αἰχμάλωτον ἄνδρα[19]– ἀλλογενῆ καὶ φυγάδι καὶ πιπρασκομένῳ[19]; καὶ οὗτός ἐστιν ο υἱὸς[20] τοῦ ποιμένος ἐκ γῆς Χαναὰν καὶ[21]– αὐτὸς καταλέλειπται ὑπ᾽ αὐτοῦ[21]. καὶ ὁ κύριος αὐτοῦ ἐνέβαλλεν αὐτὸν εἰς τὴν φυλακὴν τοῦ σκότους καὶ Φαραὼ ἐξήγαγεν αὐτὸν ἐκ τῆς φυλακῆς, καθότι συνέκρινεν αὐτὸν τὸ ἐνύπνιον αὐτοῦ. οὐχί[22], ἀλλὰ γαμηθήσομαι τῷ υἱῷ τοῦ βασιλέως[23] τῷ πρωτοτόκῳ, ὅτι αὐτός ἐστιν βασιλεὺς πάσης τῆς γῆς“. ταῦτα ἀκούσας Πενδίκαιος καὶ σοφία θεοῦ εἶναι εἰς αὐτόν. ἔλα λοιπόν, ὦ παιδί μου, νὰ σὲ δώσω αὐτὸν εἰς ἄνδρα εὐλογητικὸν καὶ ἐσὺ νὰ εἶναι γυναῖκά του καὶ νὰ ζήσετε νὰ εὐφρανθῆτε χρόνους πολλοὺς καὶ καλούς“. ἡ δὲ Ἀσενέθ, ἀκούουσα τὰ τοιαῦτα, ἔδειξε σχῆμα βαρετὸν καὶ μετὰ ταῦτα ἀπεκρίθη πρὸς τὸν πατέρα της καὶ εἶπεν· „διότι, ὦ αφέντη μου καὶ ἀκριβὲ πάτερ, τοιαῦτα λόγια ἀναφέρνεις καὶ θέλεις νὰ μὲ δώσῃς εἰς ἄνδρα σκλάβον καὶ ἀλλόγενον, φευγάτον ἀπὸ τὸν τόπον του καὶ πουλημένον; καὶ δὲν εἶναι αὐτὸς ὁ υἱὸς τοῦ βοσκοῦ ἀπὸ τὴν Χαναὰν ἢ μηνὰ δὲν εἶναι αὐτὸς ὅπου ἐκοιμᾶτον μὲ τὴν κυράν του καὶ ἄφησεν τὸ ἀπανωφόριόν του καὶ ἔφυγεν, καὶ ὁ ἀφέντης του ὁ Πεντεφρῆς ὁ ἀρχιμάγειρος τὸν ἔβαλεν εἰς τὴν φυλακήν; λοιπόν, ὦ πάτερ μου ἀκριβέ, σιώπα καὶ μὴν μοῦ λέγῃς τοιούτους λόγους. πλὴν ἂν χρήζεις, δός με εἰς ἄνδρα τὸν υἱὸν τοῦ Φαραὼ τὸν πρωτότοκον“. ὁ δὲ Πεντεφρῆς, ὡς ἤκουσεν τοὺς λόγους τῆς θυγατρὸς αὐτοῦ, πλέον δὲν εἶπεν τίποτε.

---

[1] *τέκνον μου γλυκύτατον καὶ φῶς τῶν ὀφθαλμῶν μου καὶ μορφωμένη τῷ σωματι καὶ καλὴ τῷ εἴδει, ἀστραπόφεγγε καὶ γλυκόφθαλμε χιονόφεγγες καὶ σμαραγδοειδὴς ἀστερόφωτε, κατακεκοσμημένη ὅλῳ τῷ σώματι, μυρεψικὴ εὐωδία βαλσάμῳ εὐωδήκη, πάρισσε καὶ πάντων τῶν μυρεψικῶν ἀρωμάτων τὸν λευκόμορφον ἄνθρωπον. ἄκουσόν μου τοῦ πατρός σου.* [2]—[2] *κέλευσον.* [3]—[3] ΗΤ. [4]—[4] *αὐτῶν.* [5]—[5] *κρατήσας τῆς δεξιᾶς χειρὸς αὐτῆς κατεφίλησεν αὐτούς. (καὶ εἶπεν) τέκνον μου φίλτατον.* [6] *ἐκλεκτός.* [7]—[7] ΗΤ. [8] ДОБ. *καὶ κινδύνου.* [9] *εὐσεβής.* [10]—[10] ΗΤ. [11] ДОБ. *φίλτατον.* [12]—[12] ΗΤ. [13] *κατὰ πρόσωπα.* [14] ΗΤ. [15] ДОБ. *ἐν θυμῷ καὶ ὀργῇ μεγάλῃ.* [16]—[16] *λαλεῖς ὦ κύριέ μου πάτερ.* [17]—[17] ΗΤ. [18] *ὡς.* [19]—[19] *ἀνδρὶ ἀλλοφύλῳ καὶ ἀλλογενεῖ καὶ φυγάδι καὶ πεπραμένην* (sic). [20] ДОБ. *Ἰακώβ.* [21]—[21] *οὐχ οὗτός ἐστιν ὁ κοιμηθεὶς μετὰ τῆς κυρίας αὐτοῦ.* [22] *καθ᾽ ἃ συγκρίνουσιν αἱ γυναῖκες γρηεῖς τῶν Αἰγυπτίων· οὐχί, πάτερ μου, οὐχί.* [23] ДОБ. *τοῦ Φαραώ.*

τεφρῆς[1] ἠδέσθη ἔτι[2]– λαλῆσαι τῇ θυγατρὶ[2] αὐτοῦ περὶ Ἰωσήφ, διότι μετὰ ἀλαζονείας καὶ[3]– ὀργῆς[3] ἀπεκρίθη αὐτῷ.

V. Καὶ[4] ἰδοὺ νεανίσκος ἐξεπήδησεν ἐκ τῆς θεραπείας τοῦ Πεντεφρῆ καὶ λέγει· „ἰδοὺ Ἰωσὴφ πρὸ[5] τῶν θυρῶν τῆς αὐλῆς ἡμῶν ἐστίν“[6]. καὶ[7]– ἔφυγεν Ἀσενὲθ ἀπὸ προσώπου τοῦ πατρὸς αὐτῆς καὶ τῆς μητρὸς καὶ[7] ἀνέβη εἰς τὸ ὑπερῷον καὶ εἰσῆλθεν εἰς τὸν θάλαμον αὐτῆς καὶ ἔστη ἐπὶ τὴν θυρίδα τὴν μεγάλην[8]– τὴν βλέπουσαν[8] κατὰ ἀνατολὰς ἰδεῖν τὸν εἰσερχόμενον εἰς τὴν οἰκίαν τοῦ πατρὸς αὐτῆς. καὶ ἐξῆλθον εἰς συνάντησιν τῷ Ἰωσὴφ Πεντεφρῆς καὶ γυνὴ αὐτοῦ καὶ πᾶσα ἡ συγγένεια αὐτοῦ. καὶ[9]– ἀνοίχθησαν αἱ πύλαι τῆς αὐλῆς αἱ βλέπουσαι κατὰ ἀνατολὰς καὶ εἰσῆλθεν Ἰωσὴφ καθήμενος ἐν τῷ ἅρματι τῷ δευτέρῳ Φαραώ. καὶ ἦσαν ἐζευγμένοι ἵπποι τέσσαρες λευκοὶ ὡσεὶ χιὼν χρυσοχάλινοι καὶ τὸ ἅρμα κατασκιαστὸν ἐκ χρυσίου. καὶ ἦν Ἰωσὴφ ἐνδεδυμένος χιτῶνα λευκὸν ἔξαλλον καὶ ἡ στολὴ (121ᵛ) τῆς περιβολῆς αὐτοῦ ἦν πορφυρᾶ ἐκ βύσσου χρυσῆ καὶ στέφανος χρυσὸς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ κύκλῳ δώδεκα λίθοι ἐκλεκτοὶ καὶ ἐπάνω τῶν λίθων δώδεκα ἀκτῖνες χρυσαῖ καὶ σκῆπτρον βασιλικὸν ἐν τῇ χειρὶ αὐτοῦ τῇ δεξιᾷ. καὶ εἶχεν ἐκτεταμένον κλάδον ἐλαίας καὶ ἦν πλῆθος καρποῦ ἐν αὐτῷ. καὶ εἰσῆλθεν Ἰωσὴφ εἰς τὴν αὐλὴν καὶ ἐκλείσθησαν αἱ πύλαι. καὶ εἴτε γυνὴ εἴτε ἀνὴρ ἀλλότριοι ἔμειναν ἔξω, διότι οἱ φύλακες τῶν πυλώνων ἔκλεισαν τὰς θύρας. καὶ ἦλθεν Πεντεφρῆς καὶ ἡ γυνὴ αὐτοῦ καὶ πᾶσα ἡ συγγένεια αὐτῶν[9] πλὴν τῆς θυγατρὸς αὐτῶν Ἀσενὲθ καὶ προσεκύνησαν τῷ Ἰωσὴφ ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν. καὶ κατέβη[10] Ἰωσὴφ ἀπὸ τοῦ ἅρματος αὐτοῦ καὶ ἐδεξιώσατο[11] αὐτοὺς ἐν τῇ δεξιᾷ[12] αὐτοῦ[13].

VI. Καὶ εἶδεν Ἀσενὲθ τὸν Ἰωσὴφ[14] καὶ κατενύγη[15] ἰσχυρᾶς τῇ ψυχῇ καὶ συνεκλάσθη τὰ σπλάγχνα αὐτῆς[16] καὶ τὰ γόνατα αὐτῆς παρελύθησαν καὶ συνετρόμαξεν[17] ὅλον τὸ σῶμα αὐτῆς καὶ ἐφοβήθη φόβον μέγαν καὶ ἀνεστέναξεν καὶ εἶπεν[18]· „ποῦ ἀπελεύσομαι καὶ ποῦ

V. Καὶ παρευθυς τότε ἔφθασεν ἕνα παλικάριν καὶ λέγει τὸν Πεντεφρῆν· „αὐτοῦ ἔρχεται ὁ Ἰωσὴφ εἰς τὴν αὐλήν νὰ κονεύσῃ“. καὶ παρευθὺς ἐσυκώθη (179ᵛ) ἡ Ἀσενὲθ ἔσοντας, οτι ἤκουσεν διὰ τὸν Ἰωσήφ, καὶ ἀνέβηνεν εἰς τὸ παλάτι της θέλουσα νὰ ἰδῇ τὸν Ἰωσήφ. ὁ δὲ Πεντεφρῆς καὶ ἡ γυναῖκά του ἐβγῆκαν καὶ ἐσυναπάντησαν τὸν Ἰωσὴφ μαζὶ μὲ ὅλον τὸ σπίτιν. καὶ ἄνοιξεν τὴν θύραν τῆς αὐλῆς του τὴν ἀνατολικὴν καὶ ἦλθεν ὁ Ἰωσὴφ μὲ ὡραιότατον ἅμαξην, τὸ ὁποῖον ἦτον ἐζευγμένον μὲ τέσσαρα ἄλογα λευκά, καὶ ἐκάθεζον ἀπάνω μετὰ δόξης βασιλικῆς. καὶ ἐφόρει ροῦχον λευκὸν χρυσοϋφασμένον καὶ ἀπανωφόριν πορφυροῦν χρυσοϋφασμένον. ἐφόρει δὲ καὶ στέφανον βασιλικὸν ἐπὶ κεφαλῆς, εἰς τὸν ὁποῖον στέφανον ἦσαν κεκαλυμμένοι μὲ τέχνην οἱ δώδεκα πολύτιμοι λίθοι. ὁ δὲ Ἰωσὴφ αὐτὸς ἐκράτει ράβδον βασιλικὴν εἰς τὸ χέριν του καὶ ἕνα κλαδὶν ἐλαίας πράσινον μὲ ἐλαίας γεμάτους, τὸ ὁποῖον ἐσημάνευε χαρὰν καὶ νίκην. καὶ ἔτζη ἐσέβη ο Ἰωσὴφ μετὰ τοῦ ἅρματος εἰς τὸ ὁσπίτιον τοῦ Πεντεφρῆ. καὶ ὁ Πεντεφρῆς ἦλθεν μὲ ὅλην τὴν φαμιλίαν καὶ τοὺς δούλους του καὶ ἐπροσκύνησαν ἐπὶ πρόσωπον τῷ Ἰωσήφ.

VI. Ἡ δὲ Ἀσενέθ, ως ἐπροείπαμεν, ἀνέβηκεν εἰς τὸν ὡραιότατον αὐτῆς θάλαμον καὶ ἔστεκεν καὶ ἔβλεπεν. καὶ ὡς εἶδεν τὸν Ἰωσὴφ ἐρχόμενον μὲ τοιοῦτον κάλλος καὶ εὐμορφίαν ἅμα δὲ καὶ μὲ τοσαύτην παρουσίαν καὶ δόξαν βασιλικήν, ἐκατανύχθηκεν ἡ καρδία της καὶ ἡ ψυχή της

---

[1] доб. *ὁ πατὴρ αὐτῆς*. [2—2] *ἐπὶ θυγατρὶ*. [3—3] нт. [4] *καὶ αὐτῶν λαλούντων*. [5] *ἔξω*. [6] *ἵσταται*. [7—7] *ἀκούσασα Ἀσενὲθ ταῦτα*. [8—8] нт. [9—9] нт. [10] *καταβάς*. [11] *ἐδέξατο*. [12] *χειρί*. [13] доб. *καὶ αὐτοὶ ἐκεῖνον*. [14] доб. *ἐπὶ τοῦ ἅρματος*. [15] доб. *καὶ ἔπαθεν*. [16] доб. *καὶ στρομάξας*. [17] нт. [18] доб. *ἐν τῇ καρδίᾳ αὐτῆς· οὐαί μοι τῇ ἀθλίᾳ*.

ἀποκρυβήσομαι ἀπὸ προσώπου αὐτοῦ; ἢ[1—πῶς[1] ὄψεταί με Ἰωσὴφ ὁ υἱὸς τοῦ θεοῦ, διότι λελάληκα κακὰ ἐγὼ περὶ αὐτοῦ; ποῦ[2—φεύξομαι καὶ κρυβήσομαι, ὅτι πᾶσαν ἀποκρυβὴν αὐτὸς ὁρᾷ[2] καὶ οὐδὲν κρυπτὸν λέληθεν αὐτὸν διὰ τὸ φῶς τὸ μέγα τὸ ὂν ἐν αὐτῷ; καὶ νῦν ἵλεώς μοι[3] ὁ θεὸς Ἰωσήφ, διότι[4—λελάληκα ἐγὼ ῥήματα πονηρὰ ἐν ἀγνοίᾳ[4]. τί[5—τοίνυν ἐγὼ ἔψομαι[5] ἢ ταλαίπωρος; οὐχὶ[6—λελάληκα λέγουσα „Ἰωσὴφ ἔρχεται, ὁ υἱὸς τοῦ ποιμένος ἐκ γῆς Χαναάν;“[6] καὶ νῦν ἰδοὺ ὡς ἥλιος ἐκ του (122) οὐρανοῦ ἥκει πρὸς ἡμᾶς ἐν[7] τῷ ἅρματι καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν ἡμων σήμερον[7]. ἐγὼ δὲ ἄφρων καὶ θρασεῖα ἥτις[8] ἐξουδένωσα αὐτῷ[9] καὶ ἐλάλησα ῥήματα[10—πονηρὰ[10] περὶ αὐτοῦ καὶ οὐκ ᾔδειν, ὅτι Ἰωσὴφ υἱός θεοῦ ἐστίν. τίς γὰρ ἀνθρώπων[11—γεννήσει[11] τοιοῦτον κάλλος καὶ ποία κοιλία[12] τέξεται τοιοῦτον φῶς; ταλαίπωρος ἐγὼ καὶ ἄφρων, ὅτι ἐλάλησα τῷ πατρί μου ῥήματα[13—πονηρά[13]. καὶ νῦν δότω με ὁ πατήρ μου[14] εἰς παιδίσκην καὶ[15] εἰς δούλην καὶ δουλεύσω[15] αὐτῷ εἰς τὸν αἰῶνα χρόνων“.

μὲ λύπην καὶ ἀναστεναγμὸν ἔτρεμεν καὶ ἔθαμβαζεν εἰς τὸ κάλλος τοῦ Ἰωσὴφ καὶ τρομάζουσα καὶ φοβουμένη ἔλεγεν· „ἀλήμονον ἀλήμονόν με τὴν ταλαίπωρην. βαβαὶ τῆς ἐμῆς ἀγνωσίας καὶ ἀφροσύνης. καὶ δὲν μὲ ἔλεγεν ὁ πατήρ μου, ὅτι ὁ δυνατὸς τοῦ θεοῦ ἔρχεται (180) ὁ Ἰωσήφ, ὁ ὁποῖος κατὰ ἀλήθειαν του θεοῦ δυνατὸς εἶναι, ἐπειδὴ μὲ θεοῦ δύναμιν βασιλεύει; εἶπα, πῶς εἶναι τοῦ βοσκοῦ υἱός, λέγω τοῦ ποιμένος; καὶ ναί, ἄξιος εἶναι νὰ ποιμαίνῃ μετὰ ῥάβδου βασιλικῆς ὅλην τὴν οἰκουμένην, ὅτι καὶ ἥλιος δεύτερος εἶναι αὐτός, ὁποῦ ἦλθεν σήμερον πρὸς ἡμᾶς μὲ τὸ ἡλιακὸν καὶ πάνχρυσον αὐτοῦ ἅρμα πρὸς τὴν γην διοικεῖν (въ рук. διηκήν) μας. ἐγὼ δὲ ἡ ταλαίπωρος ἄγνωστη καὶ ῥάθυμος οὖσα μὴ ἐγνωρίζουσα εἶπα λόγια ὑβριστῆ καὶ βλάσφημα κατά του ἐνώπιον τοῦ πατρός μου. ἂς φύγω λοιπὸν καὶ ἂς κρυβηθῶ διὰ νὰ μὴν μὲ ἰδῇ ὁ Ἰωσήφ, διότι ἔσοντας νὰ βλασφημήσω κατά του; φοβοῦμαι, μήπως, ὡς καθαρὸς ὁποῦ εἶναι, γνωρίσῃ τὴν κακήν μου τὴν πρώτην γνώμην καὶ μὲ ὀργισθῇ. διὰ τοῦτο ἐσύ, ὁ θεὸς τοῦ Ἰωσήφ, ἐλέησόν με καὶ συγχώρησόν με, εἴ τι ἔπταισα κατὰ τοῦ Ἰωσήφ, μὴ γνωρίζουσα αὐτόν. εἶπα δὲ ἐκεῖνα χωρὶς νὰ ἐγνωρίζω. ἤθελα δὲ τώρα νὰ ἤμουν δούλη καὶ σκλάβα τοῦ Ἰωσήφ, διότι ἄξια δὲν εἶμαι ἐγὰ να γένω τοιούτου ἀνδρὸς γυναῖκα“. αὐτὰ ἔλεγεν μοναχὴ η Ἀσενὲθ μετανοοῦσα ἐφ' οἷς εἶπε πρὸς τὸν πατέρα αὐτῆς πονηρὰ κατὰ τοῦ Ἰωσήφ.

VII. Καὶ εἰσῆλθεν Ἰωσὴφ εἰς τὴν οἰκίαν Πεντεφρῆ καὶ ἐκάθησεν ἐπὶ θρόνου καὶ ἐνίψατο τοὺς πόδας αὐτοῦ καὶ παρέθηκεν αὐτῷ τράπεζαν κατιδίαν, διότι[16—οὐκ συνήσθιεν μετὰ τῶν Αἰγυπτίων[16], ὅτι[17] βδέλυγμα ἦν αὐτῷ τοῦτο. καὶ[18—εἶπεν Ἰωσὴφ Πεντεφρῆ λέγων· „τίς ἐστὶν ἡ γυνὴ αὕτη ἡ ἑστῶσα ἐν τῷ σωλαρίῳ πρὸς τὴν θυρίδα[18]; ἀπελθάτω δὴ ἀπὸ τῆς οἰκίας ταύτης“. διότι ἐφοβεῖτο Ἰωσήφ, μήποτε ἐνοχλήσῃ αὐτῷ καὶ αὕτη, διότι ἐνόχλουν αὐτῷ πᾶσαι αἱ γυναῖκες καὶ αἱ θυγατέρες τῶν μεγιστάνων καὶ τῶν σατραπῶν πάσης[19]

VII. Ὁ δὲ Ἰωσὴφ ἐσέβην εἰς τὸ σπίτι του Πεντεφρῆ καὶ ἐκάθησεν εἰς ὡραιότατον καὶ λαμπρότατον θρόνον. καὶ ἔτζη ἤφοραν νερὸν καὶ ἔνιψεν τοὺς πόδας αὐτοῦ. καὶ ἔβαλλαν τράπεζαν αὐτὸν μοναχᾶ μὲ τοὺς ἀνθρώπους του καὶ ἔφαγεν. καὶ ὁ Πεντεφρῆς μὲ τὴν γυναῖκά του ἔκαμναν ὑπηρεσίαν τῷ Ἰωσήφ. ἀτενίζοντας δὲ ὁ Ἰωσὴφ τοὺς ὀφθαλμοὺς αὐτοῦ εἶδεν εἰς τὸν θάλαμον ἐπάνω στεκαμένην τὴν Ἀσενὲθ καὶ ἐρώτησεν τὸν Πεντεφρῆν καὶ εἶπε· „ποία εἶναι ἐκείνη ἡ γυναῖκα; ἂς φύγῃ ὀγληγωρα ἀποκεῖ, μήπως καὶ αὕτη ἀπὸ ταὶς φιλή-

---

1—1 нт. 2—2 *οἶμοι τῇ ἀθλίᾳ ὅτι αὐτὸς πάντα ὁρᾷ καὶ πάντα γινώσκει.* 3 доб. *γενοῦ.* 4—4 *διότι ἐν ἀγνοίᾳ καὶ αὐτοῦ κακῶς ἐλάλησα.* 5—5 *τίνι ὄψομαι ἐγώ.* 6—6 нт. 7—7 *καὶ λάμπει ὡς φῶς ἐν αὐτῇ.* 8 *ὅτι.* 9 *αὐτόν.* 10—10 *κακῶς.* 11—11 *ἐγέννησέ ποτε.* 12 доб. *γυναικὸς.* 13—13 *κακὰ περὶ αὐτοῦ.* 14 доб. *τῷ Ἰωσήφ.* 15—15 *δουλεῦσαι.* 16—16 нт. 17 *διότι.* 18—18 *καὶ ἀναβλέψας Ἰωσὴφ τοῖς ὀφθαλμοῖς εἶδεν τὴν Ἀσενὲθ καὶ λέγει τῷ Πεντεφρῆ· τίς ἐστὶν ἡ γυνὴ ἐκείνη ἐν τῷ ὑπερῴῳ καὶ παρακύπτουσα;* 19 доб. *γῆς.*

Αἰγυπτο ↄ του [1]·· κοιμηθήναι μετ αὐτου. και πολλαὶ γυναῖκες καὶ θυγατέρες τῶν Αἰγυπτίων [1], οσαι ἐθεώρουν τὸν Ἰωσήφ, κακῶς ἔπασχον [2] ἐπὶ τῷ κάλλει αὐτοῦ καὶ τοὺς πρέσβεις αὐτῶν ἀπέστειλον πρὸς [3]– αὐτὸν [3] μετὰ [4] δώρων πολλῶν [5]. καὶ ἀπέστρεφεν αὐτὰ ὁ Ἰωσήφ μετὰ ἀπειλῆς καὶ ὕβρεως λέγων· „οὐκ [6] ἁμαρτήσω ἐνάπιον τοῦ [7]– θεοῦ Ἰσραήλ“ [7]. καὶ [8]– τὸ πρόσωπον Ἰακὼβ τοῦ πατρὸς αὐτοῦ πρὸ ὀφθαλμῶν εἶχεν πάντοτε ὁ Ἰωσήφ [8] καὶ ἐμέμνητο [9] τῶν ἐντολῶν τοῦ πατρὸς αὐτοῦ, διότι [10] ἔλεγεν [11] ὁ Ἰακὼβ τῷ Ἰωσὴφ καὶ [12]– τοῖς ἀδελφοῖς (122ᵛ) αὐτοῦ [12]· „φυλάξετε, τέκνα, ἑαυτοὺς ἰσχυρῶς [13] ἀπὸ γυναικὸς ἀλλοτρίας τοῦ μὴ κοινωνῆσαι αὐτῇ [14]. ἀπώλεια γάρ ἐστιν καὶ διαφθορά“. διὰ τοῦτο εἶπεν Ἰωσὴφ „ἀπελθάτω ἡ γυνὴ ἐκείνη [15]– ἐκ τῆς οἰκίας ταύτης“. καὶ εἶπεν αὐτῷ Πεντεφρῆς· „κύριε, ἐκείνη [15], ἣν ἑώρακας ἐν τῷ ὑπερῴῳ, οὐκ ἐστιν ἀλλοτρία, ἀλλὰ θυγάτηρ ἡμῶν ἐστίν, παρθένος, μισοῦσα πάντα ἄνδρα, καὶ ἀνὴρ ἀλλότριος οὐκ ἑώρακεν αὐτήν, εἰ μὴ σὺ μόνος σήμερον. καὶ εἰ βούλει [16], ἐξελεύσεται καὶ προσαγορεύσει σοι, διότι ἡ θυγάτηρ ἡμῶν ἀδελφή σού ἐστιν“. καὶ ἐχάρη Ἰωσὴφ χαρὰν [17]– μεγάλην [17], διότι εἶπεν Πεντεφρῆς, ὅτι παρθένος ἐστὶν καὶ μισοῦσα πάντα ἄνδρα. καὶ εἶπεν Ἰωσὴφ τῷ Πεντεφρῇ καὶ τῇ γυναικὶ αὐτοῦ· „εἰ θυγάτηρ ὑμῶν ἐστίν, ἐλθάτω [18]– δή, ὅτι ἀδελφή μού ἐστιν, καὶ ἀγαπῶ αὐτὴν ἀπὸ τὴν σήμερον ὡς ἀδελφήν μου“ [18]

VIII. Καὶ ἀνέβη ἡ μήτηρ τῆς [19]– Ἀσενὲθ [19] εἰς τὸ ὑπερῷον καὶ ἤγαγεν τὴν Ἀσενὲθ πρὸς τὸν Ἰωσήφ, καὶ εἶπεν Πεντεφρῆς [20]– τῇ θυγατρὶ αὐτοῦ Ἀσενέθ· [20] „ἄσπασαι τὸν ἀδελφόν σου, διότι καὶ αὐτὸς παρθένος ἐστὶν ὡς καὶ σὺ σήμερον καὶ μισεῖ πᾶσαν γυναῖκα ἀλλοτρίαν ὡς καὶ σὺ πάντα ἄνδρα ἀλλότριον.“ καὶ εἶπεν Ἀσενὲθ τῷ Ἰωσήφ· „χαίροις, κύριε [21], εὐλογημένε τῷ θεῷ τῷ ὑψίστῳ“. καὶ εἶπεν πρὸς [22]– αὐτὴν [22] Ἰωσήφ· „εὐλογήσῃ σε [23] ὁ θεὸς ὁ ζωοποιὸνες γυναῖκες εἶναι καὶ ζητεῖ να με πειράξῃ“. τοῦτο δὲ τὸ εἶπεν ὁ Ἰωσήφ, ἐπειδὴ ὅλες αἱ γυναῖκες αἱ ἀρχόντισες καὶ τῶν μεγιστάνων καὶ ἀρχόντων αἱ θυγατέρες τὸν ἐνοχλοῦσαν καὶ τὸν ἐπείραζαν μὲ μηνύματα πυκνὰ καὶ ἐγύρευαν αὐτὸν κοιμᾶσθαι μετ αὐτῶν. καὶ διὰ τοῦτο οὐ μόνον μὲ τὰ λόγια τὸν ἐμηνοῦσαν, ἀλλὰ καὶ δωρίσματα περισσὰ τὸν ἔστελναν διὰ νὰ κάμνῃ τὸ θέλημά τους. ἀλλὰ ὁ Ἰωσὴφ οὐδαμῶς (180) δὲν ἐχρηάζετο τὰς τοιαύτας δωρεάς, μόνον ἔσοντας νὰ ἔχῃ τὸν θεὸν μέσα του ἠγάπαν τὴν σωφροσύνην καὶ δὲν ἤθελεν νὰ γένῃ δοῦλος τῶν ἐμπαθῶν γυναικῶν καὶ μάλιστα ὁποῦ ἦτον βασιλεὺς τῶν ἀνδρῶν. ὅμως ὡσὰν ἐρώτησεν ὁ Ἰωσὴφ τὸν Πεντεφρῆν περὶ τῆς Ἀσενέθ, ἀπεκρίθη αὐτῷ καὶ εἶπεν· „αὕτη ἡ γυναῖκα ὁποῦ εἶδες, ἀφέντη, εἰς τὸ ἀνῶγιν δὲν εἶναι ξένη, ἀλλὰ θυγατέρα μας εἶναι, ἡ ὁποία ἔσοντας νὰ εἶναι παρθένος μισεῖ πάντα ἄνδρα φιλήδονον καὶ ἐμπαθῆ. καὶ ποτὲ αὐτὴν ἄνδρας δὲν τὴν εἶδεν, μόνον τ ′ρα ὁποῦ τὴν εἶδεν ἡ βασιλεία σου. θέλει(ς) δὲ ἂν ὁρίζεις νὰ ἔλθῃ νὰ σὲ χαιρετήσῃ, ὅτι ἀδελφή σου εἶναι“. ὁ δὲ Ἰωσὴφ ὡς ἤκουσεν, ὅτι εἶναι παρθένος, ἐχάρη χαρὰν μεγάλην καὶ ὡς ἤκουσεν, ὅτι μισεῖ πάντα ἄνθρωπον ἄνδρα, πολλὰ τὸ εὐφράνθηκεν βάνοντας εἰς τὸν νοῦν του, ὅτι ἐπειδὴ αὐτὴ τοιαύτη ἦτον, τίποτε δὲν τὸν θέλει πειράξῃ. καὶ ἀπεκρίθη τοιοῦτον τρόπον πρὸς τὸν Πεντεφρῆν καὶ εἶπεν· „ἂς ἔλθῃ λοιπόν, ὡς ἐλάλησας, ἡ θυγάτηρ σου μὲ ἀγάπην θεοῦ καὶ ἔστω ἀδελφή μου“.

VIII. Καὶ ἀνέβηκεν ἡ μητέρα της καὶ ἔφευρεν αὐτὴν ὁ πατὴρ αὐτῆς ἔμπροσθεν τοῦ Ἰωσὴφ καὶ λέγει πρὸς αὐτὴν ὁ πατὴρ αὐτῆς· „ἐλθέ, ὦ θυγάτηρ μου, καὶ χαιρέτισε τὸν ἀδελφόν σου, ὅτι καὶ αὐτὸς παρθένος εἶναι ὡσὰν καὶ ἐσένα καὶ μισεῖ πᾶσαν γυναῖκαν ἀλλοτρίαν ὡς καθὼς καὶ ἐσὺ μισεῖς πάντα ἄνδρα ξένον καὶ ἀλλότριον“. τότε εἶπεν ἡ Ἀσενὲθ τῷ Ἰωσήφ· „χαίροις, ἀφέντη μου, Ἰωσὴφ εὐλογημένος ἀπὸ τὸν θεὸν τὸν ὕψιστον τοῦ οὐρανοῦ καὶ τῆς γῆς“.

1—1 нт. 2 *ἐπιτρώσκοντο.* 3 нт. 4 *μετὰ χρυσίου καὶ ἀργυρίου καὶ.* 5 *πολυτίμων.* 6 *οὐκ μή.* 7—7 *κυρίου τοῦ θεοῦ μου.* 8—8 *καὶ προσώπου τοῦ πατρός μου. εἶχε γὰρ Ἰωσὴφ πρὸ προσώπου αὐτοῦ τὸν θεὸν τὸν ἅγιον.* 9 доб. *ἀεὶ.* 10 нт. 11 доб. *πολλάκις καὶ ἐνουθέτει.* 12—12 *τὸν υἱὸν αὐτοῦ καὶ πάντας τοὺς υἱοὺς αὐτοῦ λέγων.* 13 нт. 14 доб. *ἡ γὰρ κοινωνία αὐτῆς.* 15—15 *κύριέ μου καὶ βασιλεῦ πάσης γῆς Αἰγύπτου. ἡ γυνή.* 16 доб. *κύριε μου.* 17—17 *σφόδρα.* 18—18 *ὡς φατε, καὶ παρθένος ἐστί, ἡκέτω, διότι παρθένος ἐστὶ καὶ ἀδελφή μου σήμερον.* 19 *αὐτῆς.* 20—20 *ὁ πατὴρ αὐτῆς.* 21 доб. *πεφωτισμένη ψυχή.* 22 нт. 23 доб. *κύριος.*

ήσας[1] τὰ πάντα". καὶ εἶπεν Πεντεφρῆς τῇ Ἀσενέθ· „πρόσελθον[2] καὶ φίλησον τὸν ἀδελφόν σου". καὶ ὡς[3]– προσῆλθεν[3] φιλῆσαι τὸν Ἰωσήφ, ἐξέτεινεν Ἰωσὴφ τὴν χεῖρα αὐτοῦ δεξιὰν καὶ ἔθηκεν πρὸς τὸ στῆθος αὐτῆς[4] καὶ εἶπεν[5]· „οὐκ[6] ἔστιν[6] προσεγγίζειν ἀνδρὶ[7] θεοσεβεῖ, ὃς εὐλογεῖ τῷ στόματι αὐτοῦ τὸν θεὸν τὸν ζῶντα (123) καὶ ἐσθίει ἄρτον εὐλογημένον[8] ἀφθαρσίας, φιλῆσαι γυναῖκα ἀλλοτρίαν, ἥτις εὐλογεῖ τῳ στόματι αὐτῆς εἴδωλα νεκρὰ καὶ κωφὰ καὶ ἐσθίει ἐκ[9]– τῆς τραπέζης αὐτῶν[9] ἄρτον ἀγχόνης καὶ πίνει ἐκ τῆς σπονδῆς αὐτῶν ποτήριον ἐνέδρας καὶ χρίεται χρίσμα ἀπωλείας. ἀλλὰ ἀνὴρ θεοσεβὴς φιλήσει τὴν μητέρα αὐτοῦ καὶ τὴν ἀδελφὴν τὴν ἐκ φυλῆς αὐτοῦ καὶ τὴν γυναῖκα τὴν σύγκοιτον αὐτου, αἵτινες εὐλογοῦσιν τῷ στόματι αὐτῶν θεὸν ζῶντα. ὁμοίως καὶ γυναικὶ θεοσεβεῖ οὐ προσήκει[10] φιλῆσαι ἄνδρα ἀλλότριον, διότι βδέλυγμά ἐστι τοῦτο ἐνώπιον τοῦ θεοῦ". καὶ ὡς ἤκουσεν Ἀσενὲθ τὰ ῥήματα ταῦτα,[11] ἐλυπήθη σφόδρα καὶ[12]– ἀνεστέναξεν καὶ ἦν ἀτενίζουσα τῷ Ἰωσὴφ καὶ ἐπλήσθησαν δακρύων οἱ ὀφθαλμοὶ αὐτης[12]. καὶ εἶδεν αὐτὴν Ἰωσὴφ καὶ ἠλέησεν αὐτὴν σφόδρα, ὅτι ἦν Ἰωσὴφ πρᾷος καὶ ἐλεήμων καὶ φοβούμενος τὸν κύριον. καὶ ἐπῆρεν τὴν χεῖρα αὐτου τὴν[13]– δεξιὰν ἐπάνω τῆς κεφαλῆς αὐτῆς καὶ εἶπεν[13]. „κύριε ὁ θεὸς τοῦ πατρός μου Ἰσραήλ, ὁ ὕψιστος ὁ δυνατός, ὁ ζωοποιήσας τὰ πάντα καὶ καλέσας ἀπὸ τοῦ σκότους εἰς[14]– το[14] φῶς[15] καὶ ἀπὸ θανάτου εἰς τὴν ζωήν[16], αὐτὸς ζωοποίησον καὶ εὐλόγησον την παρθένον ταύτην καὶ ἀνακαίνισον τῦ πνεύματί σου[17]. καὶ πιέτω[18] ποτήριον εὐλογίας σου[19], ἣν[20] ἐξελέξω πρὶν γενηθῆναι[21], καὶ εἰσελθέτω εἰς τὴν κατάπαυσίν σου, ἣν ἑτοίμασας τοῖς ἐκλεκτοῖς σου"[22].

IX. Καὶ ἐχάρη Ἀσενὲθ ἐπὶ τῇ εὐλογίᾳ Ἰωσὴφ χαρὰν μεγάλην καὶ ἔσπευσεν καὶ ἀνῆλθεν εἰς τὸ ὑπερῷον αὐτῆς καὶ πέπτωκεν ἀσθενοῦσα ἐπὶ τῆς αὐτῆς κλίνης, διότι[23]– ἦν αὐτῃ χαρὰ καὶ λύπη καὶ φόβος πολὺς[23] καὶ ἰδρὼς συνεχής, ὡς ἤκουσεν τὰ ῥήματα ταῦτα παρὰ καὶ θέλουσα νὰ τὸν φιλήσῃ δὲν την ἐδέχθην ὁ Ἰωσὴφ ἀμὴ εἶπεν· „δὲν εἶναι πρέπον εἰς ἐμένα ἔσοντας ὁπου εἶμαι ἄλλης φυλῆς καὶ πίστεως καὶ δοξάζω τὸν ζῶντα θεὸν τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ὅτι νὰ χαιρετηθῶ καὶ νὰ φιληθῶ μετὰ γυναικὸς ἀπίστου, ἡ ὁποία προσκυνεῖ εἴδωλα κωφὰ καὶ ἀναίσθητα καὶ τρώγει ἀπὸ τράπεζαν εἰδωλικὴν ψωμὶν λαιμαργίας καὶ πίνει ἀπὸ κρασὶν θυσίας μιασμοῦ ἂς λείπει. λοιπόν, ὦ κόρη τὸ φίλημα, καὶ ἂς εἶναι ἡ ἀγάπη μοναχὴ εἰς τὸ μέσος μᾶς, διότι πρέπει τὸν θεοσεβῆ καὶ πιστὸν ἄνδρα νὰ χαιρετήσῃ χωρὶς τινος ἀμφιβολίας τὴν μητέρα του καὶ τὴν γενεάν του πιστοὺς τυγχάνοντας καὶ ὑμνοῦντας τὸν ζῶντα θεόν. ὁμοίως δὲ καὶ γυναῖκα δὲν εἶναι πρέπον νὰ φιλήσῃ ἄνδρα ἀλλότριον, διότι συγχαμὸς εἶναι αὐτὸ ἐνώπιον τοῦ θεοῦ". ὅτε ἡ Ἀσενὲθ ὡσὰν ἤκουσε τα λόγια τοῦ Ἰωσήφ, ἐλυπήθη καὶ κατενύγη ἡ καρδία της δυνατὰ καὶ ἀναστενάζουσα (181) ἐκ βάθους τῆς καρδίας ἀνευτράπησεν τ' ὀμμάτιά της πρὸς τὸν Ἰωσὴφ γεμάτα δάκρυα, ἃ βλέποντάς την ὁ Ἰωσήφ, ὡς ὅτι καὶ αὐτὸς ἦτον πρᾷος καὶ ἐλεήμων καὶ φοβούμενος τὸν θεόν, ἐλυπήθη πένθην καὶ ἔβαλεν τὸ χέρι του ἀπάνω εἰς τὸ κεφάλι της καὶ εὐλόγησεν αὐτὴν καὶ εἶπεν· „κύριος ὁ θεὸς τοῦ Ἰσραὴλ ὁ ὑψηλὸς ὁ δυνατὸς τοῦ Ἰακωβ ὁ ζωώσας τὰ πάντα καὶ καλέσας ἀπὸ τοῦ σκότους (εἰς) τὸ φῶς καὶ ἀπὸ τῆς πλάνης εἰς τὴν αλήθειαν καὶ ἀπὸ θανάτου εἰς ζωήν, αὐτὸς, κύριε, εὐλόγησον τὴν παρθένον ταύτην καὶ ἀνακαίνισον τῷ πνεύματί σου τῷ ἁγίῳ διὰ νὰ καταξιωθῇ νὰ φάγῃ τὸν ἄρτον σου καὶ νὰ πίῃ ἀπὸ τὸ ποτήριόν σου εἰς ζωὴν αἰώνιον καὶ νὰ ζήσῃ ζωὴν οὐρανίαν εἰς αἰῶνα αἰῶνος".

IX. Καὶ ὁ μὲν Ἰωσὴφ τοιαῦτα εἰπὼν εὐλόγησεν τὴν Ἀσενέθ. αὐτὴ δὲ, ὡσὰν ἤκουσεν, πολλὰ τὸ ἐχάρη εἰς μεγάλην χαρὰν τὴν εὐλογίαν τοῦ Ἰωσὴφ καὶ ἔτζι ἀνέβηκεν ἀπάνω εἰς τὸ ἀνώγεόν της καὶ ἐσέβη μέσα εἰς τὸν θάλαμον ἤγουν εἰς τὴν τζάμπραν ὁποῦ ἦτον ἡ κλίνη

---

[1] ζωοποιῶν. [2] доб. *τέκνον*. [3] *ἐλθών*. [4] доб. *μέσον τῶν δύο μαστῶν. ἤδη ἦσαν ὡς δύο μῆλα ὡραῖα*. [5] доб. *Ἰωσὴφ πρὸς τὴν Ἀσενέθ*. [6] *οὐ θέμις*. [7] нт. [8] доб. *καὶ χρίεται χρίσμα*. [9]—[9] нт. [10] *θέμις*. [11] доб. *παρὰ Ἰωσήφ*. [12]—[12] *ἀνεῳγμένων τῶν ὀφθαλμῶν αὐτῆς πλήρης δακρύων*. [13]—[13] *καὶ ἔθηκε ἐπὶ τὴν κεφαλὴν αὐτῆς*. [14]—[14] нт. [15] доб. *ἐκ πλάνης εἰς ἀλήθειαν*. [16] доб. *αἰώνων*. [17] доб. *καὶ φάγηται ἄρτον ζωῆς σου*. [18] *πίεται*. [19] доб. *συναρίθμησον αὐτὴν τῷ λαῷ σου*. [20] *ὃν*. [21] *τὰ πάντα γενέσθαι*. [22] доб. *καὶ ζησάτω τὴν αἰωνάν σου ζωὴν εἰς τὸν αἰῶνα χρόνων*. [23]—[23] *μεριζομένη εἰς χαρὰν καὶ φόβον καὶ λύπην πολλήν*.

Ἰωσήφ, ὃς[1] ἐλάλησεν αὐτῇ ἐν τῷ ὀνόματι θεοῦ τοῦ ὑψίστου. καὶ ἔκλαυσεν κλαυθμῷ (123ᵛ) μεγάλῳ καὶ πικρῷ καὶ μετενόει ἀπο τῶν θεῶν αὐτῆς, ὧν ἐσέβετο,[2] καὶ περιέμενεν τοῦ γενέσθαι ἑσπέραν. καὶ ἔφαγεν Ἰωσὴφ καὶ ἔπιεν καὶ εἶπεν τοῖς παισὶν αὐτοῦ· „ζεύξατε[3] τοὺς ἵππους τῷ[4]– ἅρματι[4] καὶ[5]– ἀπελεύσομαι[5] καὶ κυκλώσω[6] πᾶσαν τὴν[7]– πόλιν καὶ[7] τὴν γῆν“. καὶ εἶπεν Πεντεφρῆς πρὸς Ἰωσήφ· „αὐλισθήτω δὴ ὁ κύριός μου σήμερον καὶ[8]– τῷ πρωΐ ἀπελεύσῃ τὴν ὁδόν σου“. ὁ δὲ Ἰωσὴφ ἔφη· „οὐχί, ἀλλὰ ἀπελεύσομαι σήμερον[8], διότι ἐστὶν ἡ ἡμέρα, ἐν ᾗ ἤρξατο ὁ θεὸς ποιεῖν[9]– τὰ ἔργα αὐτοῦ,[9] καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐπανκστρέφω κἀγὼ πρὸς ὑμᾶς καὶ αὐλισθήσομαι[10] ἐνθάδε“[11].

Χ. Τότε[12] Πεντεφρῆς καὶ ἡ συγγένεια αὐτοῦ ἀπῆλθον[13]– εἰς τὸν κλῆρον αὐτῶν[13]. καὶ κατελείφθη Ἀσενὲθ μόνη μετὰ[14] τῶν παρθένων καὶ[15]– ἐραθύμει καὶ ἔκλαιεν ἕως οὗ ἔδυ ὁ ἥλιος[15]. καὶ ἄρτον οὐκ ἔφαγεν καὶ ὕδωρ οὐκ ἔπιεν, ἀλλα πάντων ὑπνούντων αὕτη μόνη ἐγρήγορεν.[16]– καὶ ἤνοιξεν καὶ κατῆλθεν παρὰ τὸν πυλῶνα[16] καὶ εὗρεν τὴν θυρωρὸν καθεύδουσαν μετὰ[17]– τῶν τέκνων αὐτῆς[17]. καὶ ἔσπευσεν[18]– Ἀσενὲθ[18] καὶ καθεῖλεν ἐκ τῆς θύρας τὴν δέρριν τοῦ καταπετάσματος καὶ ἔπλησεν αὐτὴν τέφρας καὶ ἀνήνεγκεν εἰς[19]– τὸ ὑπερῶον καὶ ἀπέθηκεν[19] αὐτὴν εἰς τὸ ἔδαφος. καὶ[20] ἔκλεισεν τὴν θύραν ἀσφαλῶς καὶ εἶχε χαρὰν καὶ λύπην, χαρὰν μὲν διὰ τὴν εὐλογίαν, λύπην δὲ διὰ τὴν ἀκαταδεξίαν τοῦ Ἰωσήφ, ὅτι πῶς δὲν ἠθέλησε νὰ τὸν φιλήσῃ. καὶ ἐσφάλισεν τὴν θύραν τοῦ θαλάμου καὶ ἔπεσεν εἰς κλαυθμὸν μέγαν λέγουσα· „ἐλέησον, κύριε ὁ θεὸς τοῦ Ἰωσήφ, καὶ ἀξίωσόν με γενέσθαι παιδίσκη καὶ δούλη τοῦ Ἰωσὴφ μᾶλλον ἢ γυναῖκά του“. καὶ ἀφόντες ἔκαμεν τὴν προσευχὴν η Ἀσενέθ, παρευθὺς ἐπῆρεν ὅλους τοὺς θεοὺς ἤγουν τὰ χρυσὰ καὶ ἀργυρὰ εἴδωλα τοῦ πατρὸς αὐτῆς καὶ ἐκατατζάκισεν αὐτὰ εἰς λεπτὰ κομάτια. καὶ ὅταν ἐνύκτωσεν καὶ ἐσκοτεινίασεν, ἐπηρεν αὐτὰ καὶ τὰ ἔρριψεν εἰς τὸν δρόμον ἀπὸ τὴν ἀνατολικὴν θύραν. καὶ ἦραν αὐτὰ οἱ πτωχοὶ καὶ ἔλαβάν τα. καὶ τοῦτο ὁπού ἔκαμεν η Ἀσενὲθ ἐλογέσθαι τῷ θεῷ εἰς δικαιοσύνην ἤγουν εἰς ἐλεημοσύνην. ο δὲ Ἰωσὴφ μετὰ τὴν αὔριον ἐσηκώθη πάλιν καὶ υπῆγεν εἰς τὴν βασιλικὴν αὐτοῦ υπηρεσίαν ἤγουν ἐσυνάζει τὸν σίτον, ζεύξας τὰ ἅλογα τῆς ἁμάξης, καὶ ἐπαρέβγαλεν αὐτὸν ὁ Πεντεφρῆς μὲ τοὺς ἄρχοντας αυτοῦ ἕως ὀλίγον δρόμον. εἶπε δὲ ὁ Πεντεφρῆς τὸν Ἰωσὴφ νὰ ἀπομείνῃ, ἀμὴ δὲν ἠθέλησεν, ὅτι ἦτον ἡμέρα πρώτη τῆς ἑβδομάδος καὶ εἶπεν· „πορεύομαι, ὅτι ἐν ταύτῃ τῇ ἡμέρᾳ ἤρξατο ὁ θεὸς ποιεῖν τὸν κόσμον, καὶ τὴν καταπαύσιμον ἡμέραν ἤγουν τὸ σάββατον ἔρχομαι πάλιν νὰ πεζεύσω“. καὶ τοιοῦτο τρόπος ἐδιάβηκεν ὁ Ἰωσὴφ εἰς τὴν ἐργασίαν αὐτοῦ.

Χ—XIII. Ἡ δὲ Ἀσενέθ, ως εἴπομεν, ἐκάθετο εἰς τὸν θάλαμόν της νηστεύουσα καὶ παρακαλοῦσα τον θεὸν ἐπὶ ἡμέραν ἑπτὰ καὶ παντελῶς (181ᵛ) ἕως τὴν συμπλήρωσιν τῶν ἑπτὰ ἡμερῶν οὔτε ἔφαγεν οὔτε ἔπιεν. ἐφόριεν δὲ ροῦχα μαῦρα καὶ μετὰ δάκρυά της ἐλούετο. τα δὲ φαγητὰ ὁποῦ τὴν ὑπήγεναν ἀπὸ τὸ σπίτι τοῦ πατρός της ἔρριπτεν αὐτὰ τοῖς σκύλοις, αὐτὴ δὲ προσευχομένη τῷ θεῷ ἔλεγεν· „κύριε ο θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἰδὲ καὶ ἐλέησόν με καὶ ἀξίωσόν με νὰ τρώγω ἄρτον οὐράνιον καὶ ποτήριον ζωῆς καὶ σὺν τούτοις νὰ ἀξιωθῶ

---

[1] ἅ. [2] доб. *τοῖς εἰδώλοις οἷς προσώχθησε.* [3] *τοῦ ζεῦξαι.* [4–4] *εἰς τὰ ἅρματα.* [5–5] нт. [6] *τοῦ κυκλῶσαι.* [7–7] нт. [8–8] нт. [9–9] *ποιῆσαι τὴν κτίσιν. ὁ δὲ εἶπεν· πορεύομαι.* [10] *συναυλίσομεν.* [11] доб. *ἐξῆλθε δὲ Ἰωσὴφ τῆς οἰκίας.* [12] *ἐξῆλθε δὲ τότε.* [13–13] нт. [14] доб. *ζ'.* [15–15] *ραθυμοῦσα κλαίουσα ἕως δύσιν ἡλίου.* [16–16] *γρηγοροῦσα καὶ κλαίουσα πατάσσει τὸ στῆθος πυκνῶς. μετὰ δὲ ταῦτα ἀνέστη ἀπὸ τῆς κλίνης αὐτῆς καὶ κατέβη ἡσύχως τῇ κλίμακι ἐκ τοῦ ὑπερῴου καὶ ἐλθοῦσα πρὸς τὸν πυλῶνα.* [17–17] нт. [18–18] *σπεύσας.* [19–19] нт. [20] доб. *εἶθ' οὕτως.*

λῶς καὶ τὸν μοχλὸν τὸν σιδηρουν ἐπέθηκεν αὐτῇ ἐκπλαίων[1] καὶ ἐστέναξεν στεναγμῷ μεγάλῳ καὶ[2]— κλαυθμῷ[2]. καὶ ἤκουσεν[3] ἡ παρθένος, ἣν ἠγάπα Ἀσενὲθ παρὰ πάσας τὰς παρθένους, τὸν στεναγμὸν τῆς[4]— Ἀσενὲθ[4] καὶ ἔσπευσεν[5] καὶ εὗρεν κεκλεισμένην τὴν θύραν. καὶ ἠκροάσατο τοῦ στεναγμοῦ καὶ τοῦ κλαυθμοῦ τῆς Ἀσενὲθ καὶ εἶπεν[6]. „ἵνα τί σὺ σκυθρωπάζεις, δέσποινά μου; καὶ τί ἐστὶν ἐνοχλοῦν σοι[7]; ἄνοιξον ἡμῖν καὶ[8] ἐψόμεθά σε“. (124) καὶ εἶπεν αὐταῖς Ἀσενὲθ[9] ἐγκεκλεισμένη· „τῆς[10] κεφαλῆς[11] μου ἔστιν[11] πόνος πολὺς καὶ ἡσυχάζω ἐν τῇ κλίνῃ μου καὶ ἀνοῖξαι οὐκ ἰσχύω ὑμῖν, διότι ἠσθένηκα ἀπὸ πάντων τῶν μελῶν μου. ἀλλὰ πορεύθητε ἑκάστη ὑμῶν εἰς τὸν θάλαμον αὐτῆς“[12]. καὶ ἀνέστη Ἀσενὲθ καὶ ἤνοιξεν τὴν θύραν ἡσύχως καὶ ἀπῆλθεν εἰς τὸν θάλαμον αὐτῆς τὸ δεύτερον, ὅπου ἦσαν αἱ θῆκαι τοῦ κόσμου αὐτῆς, καὶ ἤνοιξεν τὸ κιβ′τιον αὐτῆς καὶ ἐξήνεγκεν[13] χιτῶνα[14]— μέλαν καὶ ζοφώδην[14]. καὶ[15]— οὗτος ἦν ὁ χιτὼν τοῦ πένθους αὐτῆς. αὐτὸν γαρ[15] ἐνεδύσατο καὶ ἐπένθησεν, ὅτε ἀπέθανεν ὁ ἀδελφὸς αὐτῆς ὁ πρωτότοκος[16]. καὶ ἐξεδύσατο Ἀσενὲθ τὴν στολὴν αὐτῆς τὴν βασιλικὴν καὶ ἐνεδύσατο τὴν[17] μέλαιναν[17] καὶ ἔλυσεν τὴν ζώνην αὐτῆς τὴν χρυσῆν καὶ περιεζώσατο σχοινίον καὶ ἀπέθετο τὴν τιάραν[18] ἐκ τῆς κεφαλῆς αὐτῆς καὶ[19] τὸ διάδημα καὶ τὰ ψέλλια[20] ἐκ τῶν χειρῶν αὐτῆς[21]. καὶ[22]— ἔλαβεν πᾶσαν τὴν στολὴν αὐτῆς τὴν ἐκλεκτὴν καὶ ἔρριψεν αὐτὴν διὰ τῆς θυρίδος τοῖς πένησιν. καὶ ἔλαβεν Ἀσενὲθ πάντας τοὺς θεοὺς αὐτῆς χρυσοῦς τε καὶ ἀργυροῦς, ὧν οὐκ ἦν ἀριθμός, καὶ συνέτριψεν αὐτοὺς εἰς λεπτὰ καὶ ἔρριψεν αὐτοὺς πτωχοῖς καὶ τοῖς δεομένοις. καὶ ἔλαβεν Ἀσενὲθ τὸ δεῖπνον αὐτῆς τὸ βασιλικὸν καὶ τὰ σιτιστὰ καὶ τοὺς ἰχθύας καὶ τὰ κρέα καὶ πάσας τὰς θυσίας τῶν θεῶν αὐτῆς καὶ τα σκεύη τοῦ οἴνου τῆς σπονδῆς καὶ ἔρριψεν πάντα διὰ τῆς θυρίδος καὶ ἔδωκεν πάντα τοῖς κυσὶν εἰς βρῶμα[23]. καὶ μετὰ ταῦτα ἔλαβεν τὴν[24] τέφραν νὰ γένω δούλη τοῦ Ἰωσήφ“. καὶ ἄλλα περισσότερα ἔλεγεν ἡ Ἀσενὲθ πρὸς τὸν θεόν. τὰ δὲ κορίτζια ἐκεῖνα τὰ ἑπτά, ὁποῦ ἔκαμαν ὑπηρεσίαν τὴν Ἀσενέθ, ἔρχοντα καθ' ἑκάστην ἡμέραν προς αὐτὴν κράζοντές την νὰ ἀνοίξῃ νὰ τὴν ἰδοῦν. καὶ ἐκείνη τὰς ἔλεγεν νὰ παραμερίσουν, ὅτι εἶναι βαρυμένη ἀπὸ τὸν πόνον τῆς κεφαλής, μόνον δὲ ἀπὸ μέσα ταὶς ἐπαρήγγειλεν, νὰ ὑπάγουν καὶ ἐκεῖνες νὰ σφαλιθῇ πᾶσα μία εἰς τὴν καμάρην της νὰ προσκυνοῦν καὶ αὐτοὺς τὸν θεὸν τοῦ Ἰωσήφ καὶ νὰ νηστεύσουν ἕως ἡμέρας τέσσαρας καὶ νὰ μὴν τὲς ἰδῇ τινάς. καὶ ἔτζι ὑπῆγαν, ἔκαμαν καὶ ως καθὼς ταὶς ἐπαρήγγειλεν η κυρία τους ἡ Ἀσενέθ. καὶ πάλιν ἡ Ἀσενὲθ προσευχομένη καὶ ἐξομολογουμένη ἔλεγεν· „κύριε ὁ θεὸς τοῦ Ἰωσὴφ τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν υἱῶν Ἰσραήλ, ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἰδὲ τὴν ταπείνωσίν μου, ὅτι ἰδοὺ ταπεινωθεῖσα ἐγὰ ἀπὸ τῆς πατρικῆς μου δόξης. ἐξομολογοῦμαί σοι τῷ θεῷ τῷ παντοκράτορι, προσπέφτουσα εἰς τὰς ἐντολάς σου. καὶ ἰδοὺ σύ, κύριε, οἶδας, ὅτι ἐγὼ συντρίψασα πάντα τὰ εἴδωλα τοῦ πατρός μου ἀπέρριψα αὐτὰ ἀπ ἐμοῦ. καὶ νῦν δέομαί σου διὰ τὸ μέγα σου ἔλεος καὶ εὐσπλαγχνίας, ἐπάκουσόν με καὶ ἐξαπόστειλόν μοι βοήθειαν καὶ γνῶσιν διὰ νὰ μὲ δείξῃς τράτανῖσην (sic) τῶν θελημάτων σου“.

---

[1] такъ въ рукописи; вар. *πλανά, ἐκ πλαγίου, πλαγείων, πλαγείῳ.* [2] *μετὰ κλαυθμὸν πολὺν καὶ μεγάλην.* [3] *ἀκούσασα.* [4] *αὐτῆς.* [5] доб. *καὶ ἀπῆλθε πρὸς τὴν θύραν διυπνίσασαν καὶ τὰς ἄλλας παρθένους.* [6] доб. *ἔξω ἱσταμένη. τί σοί ἐστι δέσποινά μου;* [7] доб. *μὴ τῆς ἐντὸς πάσχῃς μὴ τὴν κοιλίαν ἀλγῇς.* [8] *ἵνα ἔλθωμεν καὶ.* [9] доб. *ἔσωθεν οὖσα.* [10] *τῇ κεφαλῇ.* [11] *ἐπῆλθε.* [12] доб. *καὶ ἐμὲ ἐάσατε μόνην τοῦ ἠρεμεῖν* (въ рук. *τρεμεῖν*) *καὶ ὡς ἀπῆλθον αἱ παρθένοι ἑκάστη εἰς τὸν αὐτῆς θάλαμον.* [13] *ἔλαβεν.* [14]—[14] *χιτῶνας μεμελανωμένας καὶ ζοφώδεις.* [15]—[15] нт. [16] доб. *τοῦτον οὖν λαβοῦσα τὸν χιτῶνα ἤνεγκεν αὐτὸν εἰς τὸν θάλαμον καὶ ἔκλεισεν αὐτὴ πάλιν τὴν θύραν καὶ μᾶλλον* (чит. *μοχλὸν*) *ἔβαλλε ἐκ πλαγίου.* [17] *χιτῶνα πενθικόν.* [18] доб. *καὶ τὴν κίδαριν.* [19] *ὁμοίως.* [20] доб. *ἀπὸ τῶν ποδῶν καὶ ἀπὸ.* [21] доб. *καὶ κατέθηκεν πάντα ἐπὶ τοῦ ἐδάφους.* [22]— стр. 12 стрк. 2 (*ἐπὶ τὸ ἔδαφος*) нт. [23] въ рук. *βορρᾶ.* [24] въ другихъ сп. *τὴν δέρριν τῆς τέφρας.*

της δέρρης καὶ κατέχρισεν τὴν τέφραν ἐπὶ τὸ ἔδαφος. καὶ ἔλαβεν[1] σάκκον[2] καὶ περιεβαλλετο[3]— καὶ ἀπεβάλλετο[3] τὸ ἐμπλόκιον[4] (124ᵛ) τῆς κεφαλῆς αὐτῆς καὶ κατεπάσατο τέφραν καὶ[5]— ἔπεσεν ἐπάνω τῆς τέφρας[5]. καὶ ἐπάτασεν[6] τὸ[7]— στῆθος[7] αὐτῆς πυκνῶς ταῖς χερσὶν αὐτῆς καὶ ἔκλαιεν πικρῶς πᾶσαν τὴν νύκταν μετὰ στεναγμοῦ ἕως πρωΐ. καὶ ἀνέστη Ἀσενὲθ τῷ[8]— πρωΐ[8] καὶ εἶδεν καὶ[9] ἦν ἡ τέφρα ἡ ὑποκάτω αὐτῆς ὡς πηλὸς ἐκ[10]— τῶν δακρύων αὐτῆς[10]. καὶ ἔπεσεν πάλιν Ἀσενὲθ ἐπὶ[11]— πρόσωπον[11] ἐπὶ τὴν τέφραν ἕως ἔδυ ὁ ἥλιος. καὶ οὕτως ἐποίει Ἀσενὲθ τὰς ἑπτὰ ἡμέρας μηδὲ ὅλως γευσαμένη τινός.

XI. Καὶ[12] ἐγένετο τῇ ὀγδόῃ ἡμέρᾳ καὶ ἀνέ-νευσεν τῇ ὀγδόῃ ἡμέρᾳ λοιπὸν ἐκ τοῦ ἐδάφους, οὗ ἦν ἐπικειμένη, διότι ἦν παραλελυμένη τοῖς μέλεσιν ἐκ τῆς πολλῆς ταπεινώσεως.

XII. Εὐχὴ καὶ ἐξομολόγησις Ἀσενὲθ. Καὶ ἐξεπέτασε τὰς χεῖρας αὐτῆς πρὸς ἀνατολὰς καὶ τοὺς ὀφθαλμοὺς αὐτῆς καὶ εἶπεν· „κύριε ὁ θεὸς τῶν αἰώνων[13], ὁ δοὺς πᾶσιν[14] πνοὴν ζωῆς, ὁ ἐξενέγκας[15] τὰ ἀόρατα εἰς τὸ φῶς, ὁ ποιήσας τὰ πάντα καὶ φανερώσας τὰ ἀφανῆ, ὁ ὑψώσας τὸν οὐρανὸν καὶ θεμελιώσας τὴν

---

[1] ἔβαλεν. [2] доб. καὶ περιεζώσατο σχοινίον. [3—3] ἐξέλυσεν. [4] доб. τοῦ τριχώματος. [5—5] τῆς κεφαλῆς αὐτῆς καὶ εἰς τὸ ἔδαφος ἔστρωσεν τέφραν καὶ ἔπεσεν. [6] ἔβαλεν. [7] ἐπὶ τοῦ στήθους. [8] нт. [9] ὅτι. [10—10] нт. [11] нт. [12] XI § въ cod. Vatic. 364 читается слѣдующимъ образомъ: *Καὶ τῇ ὀγδόῃ ἡμέρᾳ ὄρθρου φανέντος λαλοῦντα ὄρνεα καὶ οἱ κύνες ἦλθον ἐπὶ τοὺς διοδεύοντας, ἀνένευσεν Ἀσενὲθ μικρὸν ἐκ τοῦ ἐδάφους καὶ ἐκ τῆς τέφρας εἰς ἣν κατακειμένη, διότι ἦν κεκμηκυῖα σφόδρα καὶ παρημένη τοῖς μέλεσιν ἐκ τῆς πολλῆς ταπεινώσεως ὀλιγοψύχησεν καὶ ἐξέλιπεν ἡ δύναμις αὐτῆς ἐκ τῆς ἀσιτίας. ἐστράφη πρὸ τὸν τεῖχον καθήσασα ὑποκάτω τῆς* (299) *θυρίδος τῆς βλεπούσης κατὰ ἀνατολὰς καὶ τὴν κεφαλὴν ἀνέλαβεν ἐπὶ τὸ δεξιὸν αὐτῆς γόνυ καὶ οὐκ ἤνοιξεν τὸ στόμα αὐτῆς ἐν ταῖς ζ′ ἡμέραις καὶ ζ′ νυξὶν καὶ εἶπεν ἐν τῇ καρδίᾳ αὐτῆς· „τὸ στόμα μου μὴ ἀνοίξω. τί ποιήσω ἐγὼ ἡ ταλαίπωρος, ἢ ποῦ ἀπέλθω, πρὸς τίνα καταφύγω δὲ λοιπὸν ἢ τίνι λαλήσω ἐγὼ ἡ παρθένος καὶ ὀρφανὴ καὶ ἔρημος καὶ καταλελειμένη ὑπὸ πάντων καὶ μεμισημένη; ὁ πατήρ μου, διότι ἐβδέλυξα* (въ рук. εὐδελήλιξα) *τοὺς θεούς αὐτοῦ καὶ δέδωκα αὐτοὺς τοῖς πένησιν τὸ χρυσίον τῶν θεῶν εἰς τὸ ἐξολοθρευθῆναι ὑπὸ τῶν ἀνθρώπων, ὁ πατήρ μου καὶ ἡ μήτηρ μου εἶπον· „οὐκ ἔστιν ἡμῶν θυγάτηρ Ἀσενέθ“. καὶ ἡ συγγένεια αὐτῶν μεμίσηκέ με καὶ πάντες ἄνθρωποι, ὅτι τοὺς θεοὺς αὐτῶν εἰς ὄλεθρον δέδωκα καὶ ὅτι μεμισηκα πάντα ἄνδρα καὶ πάντας μνηστευομένους μοι, καὶ ὑπὸ πάντων ἐμισήθη, καὶ ἐπιχαίρουσι τὴν θλῖψιν μου ταύτην. ὁ δὲ κύριος καὶ θεὸς τοῦ Ἰωσὴφ τοῦ δυνατοῦ μισεῖ πάντας τοὺς σεβομένους τὰ εἴδωλα, διότι θεὸς ζηλωτὴς ἦν καὶ φοβερός, ὅθεν κἀμὲ μεμίσηκεν διὰ τὸ σέβεσθαι εἴδωλα νεκρὰ καὶ κωφὰ καὶ εὐλογήσαντά με αὐτὸν ἔφυγα ἐκ τῆς οὐσίας αὐτῶν καὶ τὸ στόμα μου ἠλοτρίωται ἀπὸ τῆς τραπέζης αὐτῶν, καὶ οὐκ ἔστι μοι τόλμη κύριον τὸν θεὸν ὕψιστον ἐπικαλέσασθαι τὸν κραταιὸν τοῦ Ἰωσήφ. διὰ τί ἐμιάνθη τὸ στόμα μου ἐκ τῆς τῶν εἰδώλων θυσίας; ἀκήκοα πολλῶν ἀνθρώπων λεγόντων, ὅτι ὁ θεὸς τῶν Ἑβραίων θεὸς ἀληθινός ἐστι καὶ ἐλεήμων θεὸς ζώντων καὶ νεκρῶν* (299ᵛ), *οἰκτείρων, μακρόθυμος καὶ πολυέλεος καὶ ἐπιεικής, μὴ λογιζόμενος ἁμαρτίαν ἀνθρώπου ταπεινοῦ καὶ μάλιστα ἐν ἀγνοιᾳ σφάλοντος, καὶ μὴ ἐλέγχων ἀνομίαν ἐν καιρῷ θλίψεως ἀνθρώπου τεθλιμένου. λοιπόν, τολμήσω ἐγὼ ἡ ταπεινὴ καὶ στρέφω εἰς τὸν αὐτὸν καὶ ἐξομολογήσομαι αὐτῷ τὰς ἁμαρτίας μου, καὶ οἰκτειρήσει με, ὄψεται δὲ καὶ τὴν ὀρφανίαν τῆς ταλαιπωρίας μου καὶ παρθένου καὶ ὑπερασπίσει μου (διότι), ὡς ἀκούω, αὐτός ἐστι πατὴρ ὀρφανῶν καὶ (τε)θλιμένων παραμυθία. ἀλλ᾽ οὐ τολμῶ ἡ ταπεινὴ βοῆσαι πρὸς αὐτόν“. τότε ἀνέστη Ἀσενὲθ οὗ ἐκάθησε ὀρθὴ ἐπὶ τὰ γόνατα, ἐξέτεινεν τὰς χεῖρας πρὸς ἀνατολάς, ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν καὶ εἶπεν.* [13] *δούλων κτίσας τοὺς αἰῶνας καὶ ζωοποιὴς τὰ πάντα.* [14] *παντὶ τῇ κτίσει σου.* [15] *ἐξαγαγών.*

γην ἐπὶ τῶν υδάτων, ὁ θεὸς ὁ πήξας τοὺς λίθους τοὺς μεγάλους ἐπὶ τῆς ἀβύσσου τοῦ ὕδατος, οἵτινες οὐ βυθισθήσονται ἀλλ'[1—] εἰσὶν[1] ἕως τέλους ποιοῦντες τὸ θέλημά σου. κυριε[2—]ο θεός μου[2], πρός σε[3] κεκράξομαι καί σοι ἐξομολογήσομαι τὰς αμαρτίας μου καὶ πρός σε ἀποκαλύψω[4—] τὰς ἀνομίας μου. ἥμαρτον, κύριε, ἥμαρτον[4], ἠνόμησα καὶ[5—] ἠσέβησα[5] καὶ ἐλάλησα[6] πονηρὰ ἐνώπιόν σου. μεμίανται, κύριε, τὸ στόμα μου ἀπὸ τῶν θυσιῶν τῶν εἰδώλων καὶ[7—] ἐκ τῆς τραπέζης τῶν θεῶν[7] τῶν Αἰγυπτίων. ἥμαρτον, κύριε, ἐνώπιόν σου, ἥμαρτον[8—] καὶ ἠσέβησα σεβασθεῖσα εἴδωλα κωφὰ καὶ νεκρά[8], καὶ οὐκ εἰμι ἀξία ἀνοῖξαι τὸ στόμα μου πρός σε, η[9—] ἀθλία. ἥμαρτον, κύριε, ἐνώπιόν (125) σου. ἐγώ, θυγάτηρ Πεντεφρῆ του ἱερέως η σοβαρα καὶ ὑπερήφανος[9], σοὶ προσφέρω[10] καὶ[11—] τὴν δέησίν μου[11] καὶ πρός σε κεκράξομαι, ρῦσαί με ἀπὸ τῶν διωκόντων με, διότι[12—] ἐγω πρός σε κατέφυγον ὡς παιδίον ἐπὶ τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα. καὶ σύ, κύριέ μου,[12] ἔκτεινον τὴν[13—] χεῖρά[13] σου ἐπ' ἐμὲ ὡς πατὴρ φιλότεκνος[14—] καὶ[14] φιλόστοργος καὶ ἅρπασόν με ἐκ χειρὸς[15] ἐχθροῦ. ἰδοὺ γὰρ ο λέων[16] ὁ[17—] ἄγριος ὁ παλαιὸς[17] καταδιώκει με καὶ[18—] τὰ τέκνα αὐτοῦ εἰσὶν οἱ θεοὶ[18] τῶν Αἰγυπτίων, οὓς[19—] ἐγὼ ἔρριψα ἀπ' ἐμοῦ[19] καὶ ἀπόλεσα αὐτούς[20—], καὶ ὁ πατὴρ αὐτῶν ὁ διάβολος καταπιεῖν με πειρᾶται.[20] ἀλλὰ σύ, κύριε, ρῦσαί με ἐκ τῶν χειρῶν αὐτοῦ καὶ ἐκ τοῦ στόματος αὐτοῦ ἐξελοῦ[21—] με, μήποτε ἁρπάζῃ με ὡς λύκος καὶ[21] σπαράξῃ[22] με καὶ[23—] ἐμβάλῃ με εἰς τὴν ἄβυσσον[23] τοῦ πυρὸς καὶ[24—] εἰς τὴν καταιγίδα τῆς θαλάσσης καὶ μή με καταπιέτω τὸ κῆτος αὐτοῦ τὸ μέγα. ἀλλὰ σῶσόν με, κύριε, τὴν ἔρημον[24], διότι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἠρνήσαντό με διὰ[25] τὸ ἐμὲ ἀπολέσαι καὶ συντρῖψαι τοὺς θεοὺς αὐτῶν, καὶ νῦν ὀρφανὴ καὶ ἔρημός εἰμι, καὶ οὐκ ἔστιν μοι ἄλλη ἐλπὶς εἰ μὴ ἐπὶ σοί, κύριε, ὅτι σὺ εἶ πάτηρ τῶν ὀρφανῶν καὶ τῶν διωκομένων ὑπε-

---

1—1 нт. 2—2 *διότι σὺ, κύριε, εἶπας καὶ τὰ πάντα γεγόνασι καὶ ὁ λόγος, κύριε, ὁ σὸς ζωή ἐστι.* 3 доб. *καταφεύγω ἀπὸ νῦν καὶ.* 4—4 *τὴν δέησίν μου ἐκχέω, δέσποτα. φείσῃ μου, κύριε, φείσῃ μου, πολλὸν.* 5 нт. 6 доб. *ρήματα βλάσφημα καὶ.* 7—7 нт. 8—8 нт. 9—9 *κἀγὼ ἡ ἁμαρτωλὴ ἥ ποτε σοβαρὴ ἐν τῷ γονίῳ πλούτῳ καὶ εὐθυμοῦσα ὑπὲρ πάντας, νῦν δὲ ὀρφανὴ καὶ ἔρημος.* 10 *προσφεύγω.* 11—11 нт. 12—12 *πρὶν ληφθῶ ὑπ' αὐτῶν.* 13 *τὰς ἀχράντας καὶ φοβερὰς χεῖρας.* 14—14 нт. 15 доб. *νοητοῦ.* 16 *δράκων.* 17—17 нт. 18—18 *διότι αὐτός ἐστι πατήρ.* 19—19 *κἀγὼ μεμίσηκα αὐτόν.* 20—20 *καὶ τὰ τέκνα λέοντός εἰσι. ὁ δὲ λέων ἤγουν ὁ τύραννος αὐτῶν ὁ διάβολος θυμωθεὶς κατ' ἐμοῦ πειρᾶται.* 21—21 нт. 22 *μὴ διασπαράξῃ.* 23—23 *εἰς τὴν φλόγα.* 24—24 *ρῦσαί με, κύριε, πρὶν ἐλθεῖν ἐπ' ἐμέ, ρῦσαί με, κύριε, τὴν ἔρημον καὶ ἀπερίστατον.* 25— стрн. 14 стрк. 1 *(βοητός) φύλαξον με ἁγνὴν παρθένον. τίς γὰρ ὡς σύ, κύριε, πατήρ.*

ρασπιστὴς καὶ τῶν θλιβομένων βοητός. ἰδοὺ γὰρ πάντα[1]– τὰ χρήματα[1] του πατρός μου Πεντεφρῆ[2] πρόσκαιρά[3] εἰσιν καὶ ἀφανῆ, τὰ δὲ δώματα[4] τῆς κληρονομίας σου, κύριε, ἄφθαρτά εἰσιν καὶ αἰώνια.

XIII. Ἐπίσκεψαι[5]– τὴν ὀρφανίαν μου[5], κύριε. ἰδοὺ ἀπεθέμην[6] μου τὴν βασιλικὴν στολὴν[7] τὴν χρυσοϋφῆ[8] καὶ ἐνδέδυμαι χιτάνα[9]– μέλαν[9]. ἰδοὺ[10]– ἔλυσα[10] τὴν ζώνην μου τὴν χρυσῆν καὶ περιέζωσμαι σχοινίον καὶ σάκκον. ἰδοὺ τὸ διάδημα τῆς[11]– κεφαλῆς μου[11] ἀπέρριψα καὶ κατέσπαμαι[12] τέφραν. (125ᵛ) ἰδοὺ τὸ ἔδαφος τοῦ θαλάμου μου κατεστρωμένον λίθοις ποικίλοις καὶ[13]– πορφυροῖς καὶ νυν ἐραντισμένον ἀπὸ τῶν δακρύων μου (καὶ) χοῦν κατεσποδωμένον[13]. ἰδού, κύριέ μου, ἐκ τῆς τέφρας καὶ τῶν δακρύων μου πηλός ἐστιν[14] πολὺς ἐν τῷ θαλάμῳ μου ὡς ἐν ὁδῷ πλατείᾳ. ἰδού, κύριέ μου, τὸ δεῖπνόν μου τὸ βασιλικὸν καὶ[15]– τὰ σιτία[15] δέδωκα τοῖς κυσίν. καὶ ἰδοὺ ἐγὼ[16] τὰς ἑπτὰ ἡμέρας καὶ ἑπτὰ νύκτας ἄρτον οὐκ ἔφαγον οὔτε ὕδωρ ἔπιον, καί[17]– ἐστιν τὸ στόμα μου ξηρὸν ὡς τύμπανον[17] καὶ ἡ γλῶσσά μου ὡς κέρας καὶ τὰ χείλη μου ὡς ὄστρακον. τό[18] τε πρόσωπον[18] μου συμπέπτωκεν καὶ οἱ ὀφθαλμοί μου ἐξέλιπον ἐκ[19]– τῆς φλεγμονῆς τῶν δακρύων μου[19]. ἀλλά[20]–, κύριε[20], σύγνωθί μοι, ὅτι ἥμαρτόν σοι[21] ἐν ἀγνοίᾳ καὶ λελάληκα βλάσφημα εἰς τὸν κύριόν μου Ἰωσήφ. καὶ οὐκ ᾔδειν ἐγὼ[22]– ἡ ἀθλία[22], ὅτι υἱός σού ἐστιν, κύριε, διότι[23]– εἶπόν μοι οἱ ἄνθρωποι, ὅτι Ἰωσὴφ του ποιμένος υἱός ἐστιν ἐκ γῆς Χαναάν, καὶ πεπίστευκα αὐτοῖς καὶ πεπλάνημαι καὶ ἐξουδένωσα τὸν ἐκλεκτόν σου Ἰωσὴφ καὶ λελάληκα περὶ αὐτου πονηρά, μὴ εἰδυία, ὅτι υἱός σού ἐστιν[23]. τίς γὰρ τῶν ἀνθρώπων ἔτεκεν[24] τοιοῦτον κάλλος καὶ τίς ἄλλος ὑπάρχει[25] σοφὸς καὶ δυνατὸς ὡς[26] Ἰωσήφ; ἀλλά, κύριέ μου, σοὶ παρατίθημι αὐτόν, ὅτι ἐγὼ ἀγαπῶ αὐτὸν ὑπὲρ τὴν ψυχήν μου. διατήρισον[27]– αὐτὸν ἐν τῇ σοφίᾳ τῆς χάριτός σου καὶ[27] παράθου με αὐτῷ εἰς παιδίσκην[28], ἵνα[29]– ἐγὼ νίπτω[29] τοὺς πόδας αὐτου

---

[1] δώματα. [2] НТ. [3] φθαρτά. [4] НТ. [5]–[5] ἐγὼ πρός σε κατέφυγον ἐν σάκκῳ καὶ σποδῷ γυμνὴ καὶ μεμενομένη. [6] ἀπέβαλον. [7] Доб. ἐξ ἀκύνθου. [8] χρυσῆν [9]–[9] μελανὸν πενθήρη. [10]–[10] καὶ ἔρριψα. [11]–[11] НТ. [12] ἐσπασάμην. [13]–[13] ραντισμένον μύρῳ καὶ ὀθονίοις λαμπροῖς νῦν δε καταραίνεται τοῖς δάκρυσιν μου. [14] γέγονε. [15]–[15] НТ. [16] δέσποτα. [17]–[17] НТ. [18] καὶ ὄψις. [19]–[19] τοῦ χέειν δάκρυα. [20]–[20] ἀλλὰ σύ, κύριε, ῥῦσαί με ἐκ τῶν πολλῶν μου ἀγνοημάτων. τὰ εἴδωλα κατέπτησα καὶ σὲ μόνον, κύριε, σέβομαι, εὔσλαγχνε μακρόθεν μου. [21] Доб. πολλά. [22]–[22] НТ. [23]–[23] НТ. [24] Доб. ἢ τέξεται. [25] НТ. [26] Доб. πάγκαλος. [27]–[27] НТ. [28] Доб. καὶ δούλην. [29]–[29] τοῦ νίπτειν.

καὶ διακονήσω αὐτῷ καὶ[1] — ἔσομαι αὐτῳ δούλη καὶ δουλεύσω αὐτῷ εἰς τους χρόνους τῆς ζωῆς μου[1].

XIV. Καὶ ὡς ἐπαύσατο Ἀσενὲθ ἐξομολογουμένη τῷ κυρίῳ, ἰδοὺ ἀνέτειλεν ὁ ἑωσφόρος ἀστὴρ ἐκ τοῦ οὐρανου κατὰ (126) ἀνατολάς[2], καὶ εἶδεν αὐτὸν Ἀσενὲθ καὶ ἐχάρη καὶ εἶπεν· „ἆρα[3] ἐπήκουσέ μου κύριος[4] ὁ θεός[5], διότι ὁ ἀστὴρ οὗτος ἄγγελος καὶ κήρυξ ἐστὶν φωτὸς τῆς μεγάλης ἡμέρας“[6]. καὶ ἰδοὺ πλησίον τοῦ ἑωσφόρου[7] ἐσχίσθη ὁ οὐρανὸς καὶ ἐφάνη φῶς[8] ἀνεκλάλητον. καὶ[9] ἔπεσεν Ἀσενὲθ ἐπὶ πρόσωπον ἐπὶ τὴν τέφραν. καὶ[10] ἦλθεν πρὸς[11] — αὐτὴν[11] ἄνθρωπος φωτὸς[12] ἐκ τοῦ οὐρανοῦ καὶ ἔστη ὑπὲρ κεφαλῆς αὐτῆς καὶ[13] — ἐκάλεσεν αὐτήν[13]· „Ἀσενέθ“[14]. καὶ εἶπεν· „τίς ὁ καλέσας με, διότι ἡ θύρα τοῦ θαλάμου μου κεκλεισμένη ἐστὶν καὶ ὁ πύργος μου υψηλός; καὶ πῶς εἰσελήλυθας εἰς τὸν ἐμὸν θάλαμον“; καὶ ἐκάλεσεν[15] — αὐτὴν[15] ἐκ δευτέρου καὶ εἶπεν· „Ἀσενέθ, Ἀσενέθ“. καὶ αὐτὴ εἶπεν· „ἰδοὺ ἐγώ, κύριε. ἀνάγγειλόν μοι, τίς εἶ“. καὶ εἶπεν αυτῇ[16] — ὁ ἄνθρωπος. [16] „ἐγώ εἰμι στρατιάρχης[17] τοῦ[18] οἴκου[18] κυρίου[19]. ἀνάστηθι ἐπὶ τοὺς πόδας σου καὶ λαλήσω πρός σε“[20]. καὶ[21] — ἦρεν τοὺς ὀφθαλμοὺς αὐτῆς καὶ εἶδεν, καὶ ἰδοὺ ἀνὴρ ὅμοιος κατὰ πάντα τῷ Ἰωσὴφ τῇ τε στολῇ καὶ τῷ στεφάνῳ καὶ τῃ ράβδῳ τῇ βασιλικῃ. πλὴν τὸ πρόσωπον αὐτου ἦν ὡς ἀστραπὴ καὶ οἱ ὀφθαλμοὶ αὐτου ως ὁ ἥλιος καὶ αἱ τρίχες αὐτοῦ τῆς κεφαλῆς ως φλὸξ πυρὸς καὶ αἱ χεῖρες καὶ οἱ πόδες αὐτοῦ ὥσπερ σίδηρος ἐκ πυρός. καὶ εἶδεν Ἀσενὲθ καὶ ἔπεσεν ἐπὶ τὸ πρόσωπον ἐπὶ τοὺς πόδας αὐτου ἐν φόβῳ μεγάλῳ καὶ τρόμῳ. καὶ εἶπεν αὐτῇ ὁ ἄνθρωπος· „θάρσει, Ἀσενέθ, μὴ φοβοῦ, ἀλλὰ ἀνάστηθι ἐπὶ τοὺς πόδας σου καὶ λαλήσω πρός σε“[21]. καὶ ἀνέστη Ἀσενέθ. καὶ εἶπεν αὐτῃ ὁ ἄνθρωπος[22]· „ἀπόθου τὸν χιτῶνα, ὃν περ[23] — ἐνδέδυσαι[23], τὸν μέλαν καὶ τὸν σάκκον ἀπό[24] — σου[24] καὶ τὴν τέφραν ἀποτίναξαι[25] — ἀπὸ τῆς κεφαλῆς σου[25] καὶ νίψαι[26] — τὸ πρόσωπόν σου ὕδατι ζῶντι[26] καὶ ἔνδυσαι στολην καινὴν[27] ἄθικτον (126ᵛ) καὶ ζῶσαι τὴν ὀσφύν σου τὴν ζώνην σου τὴν λαμ-

XIV. Καὶ ὡς ἐπαύσατο ἐξομολογουμένη τω θεῷ ἡ Ἀσενέθ, βλέπει, ὅτι παρευθὺς ἀνέτειλλεν ἕνα λαμπρότατον ἄστρον εἰς οὐρανοὺς κατὰ ἀνατολάς. καὶ ὡς τὸ εἶδεν, ἐχάρη καὶ ἔλεγεν εἰς τὸν νοῦν της· „ἆρα ἐπήκουσέ μου ὁ θεὸς τοῦ Ἰωσὴφ“; καὶ διανουμένη βλέπει καλὰ εἰς τὸν ἄστρον ἐκεῖνον, ὡσὰν πῶς ἐσχίσθη ὁ οὐρανὸς καὶ ἐφάνη φῶς μέγα καὶ ἀνεκλάλητον. καὶ ὡς εἶδεν ἡ Ἀσενέθ, ἔπεσεν ἐπὶ πρόσωπον εἰς τὴν στάκτην ὁποῦ εἶχεν ἁπλωμένην (182) καὶ ἐλθὼν ὁ ἄγγελος κυρίου ἐστάθηκεν ἀπάνω τῆς κεφαλῆς τῆς Ἀσενέθ. τότε ἐσήκωσεν ἡ Ἀσενὲθ το κεφάλι της καὶ βλέπουσα πρὸς τὸν ἄγγελον ἔλεγεν· „ποῖός σε ἔκραξεν ἐδῶ καί σε ἐσέβασεν μέσα ὁποῦ εἶναι ἡ θύρα σφαλισμένη καὶ ὁ πύργος εἶναι ὑψηλός, καὶ πῶς ἐσέβης εἰς τὴν θύραν τοῦ θαλάμου;“ τότε ἀπεκρίθη ὁ νεανίσκος ἐκεῖνος, ὁ ὁποῖος ἦτον εἰς τὸ σχῆμα καὶ εἰς τὴν θεωρίαν τοῦ Ἰωσήφ, καὶ εἶπεν τῇ Ἀσενέθ· „ἐγὼ εἶμαι ὁ ἀρχιστράτηγος τῶν ἀγγέλων πάντων. πλὴν σηκώσου καὶ νὰ σὲ λαλήσω λόγια κυρίου“. τότε ὡσὰν ἐσηκώθη ἡ Ἀσενέθ, ἐτρόμαξεν νομίζουσα, ὅτι ἦτον ὁ Ἰωσήφ, ὅτι εἰς τοιοῦτον σχῆμα ἐφαίνετο ὁ ἄγγελος καὶ μὲ τὸν στέφανον καὶ μὲ τὴν ράβδον παρέξ(ω), ὅτι ἦτον νέος καὶ τὸ πρόσωπον αὐτοῦ ἦτον ως ἀστραπὴ καὶ τὰ ὀμάτιά του ὡσεὶ φλόγες πυρός. ὅμως ὡς τὸν εἶδεν ἡ Ἀσενὲθ εἰς τόσην λαμπρότητα τὸν τοῦ κυρίου ἄγγελον, πλέον δὲν ἐδύνετο νὰ βλέπῃ τοσαύτην φωτα(γω)γίαν καὶ ἔπεσε κατὰ πρόσωπον ἐπὶ τῆς γῆς. τότε λέγει την ὁ ἄγγελος· „θάρσει ἡ Ἀσενὲθ καὶ μὴ φοβηθῇς, ἀλλὰ ἀνάστηθι εἰς τὰ ποδάριά σου καὶ ἄφησε τὸν πολὺν κλαυθμὸν καὶ τὴν λύπην, διότι ὁ θεὸς σέ ἐχάρισε ζωὴν αἰώνιον καὶ θέλεις φάγῃ ἄρτον οὐράνιον καὶ ποτήριον ζωῆς, καὶ σὲ ἐχάρισεν ἐκεῖνο ὁποῦ ζητεῖς. καὶ ἰδοὺ ἂς εἶναι ὁ Ἰωσὴφ νυμφίος σου ἀπό τώρα. καί λοιπὸν ἐνδύθητι στολὴν λευκὴν τῆς παρθενίας καὶ περιβαλοῦ πᾶσαν ωραίαν σου στολὴν

1—1 нт. 2 доб. *λέγω δὲ Ἰωσήφ.* 3 *ἆρά γε μὴ.* 4 нт. 5 доб. *τῆς προσευχῆς μου.* 6 доб. *καθότι καὶ ἀνέτειλε.* 7 доб. *ἐκείνου.* 8 доб. *μέγαν καί.* 9 *ἰδοῦσα αὐτόν.* 10 доб. *εὐθέως.* 11—11 нт. 12 *φῶς ἀκτῖνας ἐκπέμπων.* 13—13 *τῆς δὲ κειμένης ἐπὶ πρόσωπον εἶπεν αὐτῷ ὁ θεῖος ἄγγελος.* 14 доб. *ἀνάστηθι.* 15—15 *πάλιν.* 16—16 нт. 17 *ἀρχιστράτηγος.* 18—18 нт. 19 доб. *τοῦ θεοῦ, στρατιάρχης στρατιῶν τοῦ ὑψίστου.* 20 доб. *τά ρήματά μου.* 21—21 нт. 22 *ἄγγελος.* 23—23 нт. 24—24 нт. 25—25 *καὶ πάντα τὰ πένθη.* 26—26 *νίψον καθαρὸν ὕδωρ.* 27 *λευκὴν καί.*

πρὰν της παρθενίας σου τὴν δίπλην καὶ πάλιν ἐλθὲ πρός[1]– με[1] καὶ λαλήσω σοι τὰ ῥήματα τὰ πρός σε ἀποσταλέντα". καὶ[2]– εἰσῆλθεν[2] Ἀσενὲθ εἰς[3]– τὸν θάλαμον αὐτῆς καὶ ἀνέῳξεν τὸ κιβώτιον αὐτῆς[3] καὶ ἔλαβεν στολὴν καινὴν[4]– ἐπίσημον καὶ ἐξεδύσατο τὴν στολὴν τὴν μέλαιναν[4] καὶ ἐνεδύσατο τὴν καινὴν[5] καὶ λαμπράν, καὶ[6]– ἀπεζώσατο τὸ σχοινίον καὶ τὸν σάκκον ἐκ τὴν ὀσφὺν αὐτῆς καὶ ἐζώσατο διπλῆν ζώνην λαμπρὰν τῆς παρθενίας αὐτῆς, μίαν ζώνην περὶ τὴν ὀσφὺν αὐτῆς καὶ ἐπὶ τὸ στῆθος αὐτῆς ἑτέραν, καὶ ἀπεσίσατο τὴν τέφραν ἐκ τῆς κεφαλῆς αὐτῆς καὶ ἐνίψατο τὸ πρόσωπον αὐτῆς ὕδατι καθαρῷ, καὶ ἐκάλυψεν τὴν κεφαλὴν αὐτῆς θερίστρῳ καλῷ καὶ ἐπισήμῳ[6].

XV. Καὶ ἦλθεν[7] πρὸς τὸν ἄνθρωπον[8] καὶ ἰδὼν[9]– αὐτὴν ὁ ἄνθρωπος[9] λέγει αὐτῇ· „ἆρον τὸ θέριστρον δὴ ἀπὸ τῆς κεφαλῆς σου, διότι εἶ παρθένος ἁγνὴ σήμερον[10]– καὶ ἡ κεφαλή σού ἐστιν ὡς ἀνδρὸς νεανίσκου." [10] καὶ[11]– ἦρεν αὐτὸ ἐκ τῆς κεφαλῆς αὐτῆς. [11] καὶ εἶπεν[12]– αὐτῇ ὁ ἄνθρωπος· [12] „θάρσει, Ἀσενέθ, ἡ[13]– παρθένος ἁγνή. [13] ἰδοὺ γὰρ εἰσήκουσε κύριος[14]– τῶν ῥημάτων τῆς ἐξημολογήσεώς σου. θάρσει, Ἀσενέθ, ἡ παρθένος. [14] ἰδοὺ ἐγράφη τὸ ὄνομά σου ἐν βίβλῳ ζωῆς καὶ[15]– οὐκ ἐξαλειφθήσεται εἰς τὸν αἰῶνα. ἰδοὺ ἀπὸ τὴν σήμερον ἀνακαινισθήσῃ καὶ ἀναζωοποιηθήσῃ καὶ φαγεῖ ἄρτον ζωῆς καὶ πίεσαι ποτήριον ζωῆς ἀφθάρτου. θάρσει, Ἀσενέθ, ἡ παρθένος. ἰδοὺ[15] δέδωκέν σε κύριος τῷ Ἰωσὴφ εἰς νύμφην καὶ αὐτὸς ἔσται σοι νύμφιος[16]. καὶ οὐκέτι[17] κληθήσῃ[18] Ἀσενέθ, ἀλλ' ἔσται[19]– τὸ ὄνομά σου[19] „πόλις καταφυγῆς", διότι ἐν σοὶ καταφεύξονται (127) ἔθνη πολλὰ καὶ[20]– ἐπὶ τὰς πτέρυγάς σου κατασκηνώσουσιν καὶ σκεπασθήσονται ἔθνη πολλὰ[20] καὶ ἐπὶ τὰ τείχη σου φυλαχθήσονται οἱ προσκείμενοι τῷ θεῷ[21] διὰ μετανοίας, διότι ἡ μετάνοιά ἐστιν θυγάτηρ[22] τοῦ ὑψίστου καὶ[23]– αὕτη παρακαλεῖ τὸν θεὸν τὸν ὕψιστον ὑπὲρ τῶν μετανοούντων,[23] ἐπειδὴ πατήρ ἐστιν τῆς μετανοίας καὶ[24] τοῖς ἀγαπῶσιν αὐτὸν ἡτοίμασεν εἰς νυμφῶνα οὐράνιον, καὶ αὕτη διακονήσει αὐτοῖς εἰς τὸν αἰῶνα χρόνων. καὶ ἔστιν ἡ μεκαὶ νίψον σου τὸ πρόσωπον καὶ λουσαι τὴν κεφαλὴν καὶ τὰ χρυσοειδῆ σου, μάλιστα στόλισον ὡς καὶ πρῶτον. καὶ ἰδοὺ θέλεις εἰσθεν ἀπὸ τοῦ νῦν μὲ χαρὰν καὶ εὐφρωσύνην". καὶ ἔτζη ὡσὰν ἤκουσεν ἡ Ἀσενὲθ τὰ λόγια τοῦ ἀγγέλου, ἐσηκώθη καὶ ἐσέβην εἰς τὸν δεύτερον αὐτῆς θάλαμον, εἰς τὸν ὁποῖον θάλαμον μέσα ἦσαν οἱ θησαυροὶ καὶ αἱ στολαὶ τοῦ Πεντεφρῆ καὶ τῆς Ἀσενέθ, καὶ ἔβαλλεν λευκὴν στολὴν χρυσοΰφαντον ἀστράπτουσαν ὡς τὸ φῶς καὶ ἐξέβαλλεν τὰ μαῦρα ροῦχα ὁποῦ ἐφόριεν. ἔβαλλε δὲ καὶ ἄλλον ἔνδυμα πορφυροῦν χρυσοειδὲς καὶ ἀπετίναξεν τὴν στάκτην καὶ ἔλουσεν τοὺς χρυσοειδεῖς πλοκάμους.

XV. Καὶ ἔτζη τοιουτο τρόπος λάμπουσα ὡς ἀκτίνα ἡλίου ἦλθεν καὶ ἐπροσκύνησε τὸν ἄγγελον ἐκεῖνον τοῦ κυρίου. καὶ ἀφόντες ἐπροσκύνησεν τὸν ἄγγελον ἡ Ἀσενέθ, ἐστάθη καὶ εἶπεν· „τί ορίζεις, ἀφέντη, νὰ κάμνῃ ἡ ταπεινή σου δούλη;" τότε ἀποκριθεὶς αὐτῇ ὁ ἄγγελος εἶπε· „ἰδοὺ ἀπὸ τοῦ νῦν ἀγάλλου καὶ εὐφραίνου, ὅτι ἐγράφη τὸ ὄνομά σου ἐν βίβλῳ ζωῆς οὐρανοῦ (182) καὶ οὐκ ἐξαλειφθήσεται εἰς τὸν αἰῶνα. καὶ ἰδοὺ ἀπὸ τὴν σήμερον θέλεις ἀνακαινουργωθῇς καὶ νὰ ζωοποιηθῇς καὶ θέλεις φάγῃς ἄρτον εὐλογημένον παρὰ θεοῦ καὶ ποτήριον ζωῆς πηγῆς ἀθανάτου. καὶ ἰδέ, ὅτι σήμερον σὲ ἐπαράδωκεν ὁ θεὸς εἰς νύμφην τῷ Ἰωσὴφ καὶ αὐτὸς ἔσται σοι νύμφιος εἰς χρόνον τῆς ζωῆς σου ὅλης. καὶ ἰδοὺ ἐγὼ πορεύσομαι πρὸς τὸν Ἰωσὴφ καὶ θέλω τὸν συντύχω διὰ τὴν ἐδικήν σου ἀφορμὴν εἰς τὰ πάντα. καὶ θέλει ἔλθῃ σήμερον εἰς ἐσένα καὶ ἀγαπῶντάς σε εὐφρανθῇ, πλὴν ἄκουσόν μου, παρθένε Ἀσενέθ, καὶ ὕπαγε καὶ στολίσου ἔνδυμα γάμου ἀπὸ τὴν στολὴν οποῦ εἶναι εἰς τὸν θάλαμόν σου τὸν β-ον καὶ μετὰ ταῦτα ὕπαγε καὶ συναπάντησον τὸν Ἰωσήφ, διότι αὐτὸς ἔρχεται πρὸς ἐσένα σήμερον". καὶ ὡς ἤκουσεν ἡ Ἀσενέθ, ἔπεσεν εἰς τὰ ποδάρια τοῦ ἀγγέλου καὶ ἐπροσκύνησεν αὐτὸν καὶ εἶπέν τον· „εὐλογημένος νὰ εἶναι ὁ ἀφέντης ὁ θεὸς ὁ ὕψιστος, ὁποῦ ἐξαπέστειλεν τὸν ἄγγελον αυτοῦ καὶ ἐλευθέρωσέν με ἀπὸ μέσα τοῦ σκό-

---

[1] нт. [2] *πορευθεῖσα.* [3—3] *κατὰ τὸ ῥῆμα τοῦ ἀγγέλου.* [4—4] *αὐτῆς.* [5] *χρυσῆν.* [6—6] нт. [7] *εὐθέως ἐστράφη.* [8] *ἄγγελον.* [9—9] нт. [10—10] нт. [11—11] *ἐποίησεν δὲ οὕτως.* [12—12] *λέγει ὁ ἄγγελος.* [13—13] нт. [14—14] *ὁ θεὸς τῆς δεήσεώς σου καὶ τὴν θλῖψιν τῶν ζ ἡμερῶν καὶ τῶν δακρύων σου.* [15—15] *καὶ ἔσῃ εὐλογημένη.* [16] *εἰς τὸν αἰῶνα.* [17] доб. *ἀπὸ τοῦ νῦν.* [18] *τὸ ὄνομα σου.* [19—19] нт. [20—20] нт. [21] *ὑψίστῳ.* [22] доб. *τοῦ θεοῦ.* [23—23] нт. [24]— стрн. 17, стрк. 2 (*πρᾶος*) нт.

БИБЛИОТ. КОММУНИСТИЧЕ АКАДЕМИИ.

τάνοια καλὴ σφόδρα παρθένος καθαρὰ καὶ ἁγνὴ καὶ πρᾷος. καὶ ὁ θεὸς ὁ ὕψιστος ἀγαπᾷ αὐτὴν καὶ πάντες οἱ ἄγγελοι αἰδουνται αὐτήν[1]. καὶ ἰδοὺ ἀπέρχομαι πρὸς Ἰωσὴφ καὶ λαλήσω αὐτῷ περὶ σοῦ. καὶ ἐλεύσεται πρός[2]— σε[2] σήμερον καὶ ὄψεταί σε καὶ χαρίσεται ἐπί σε καὶ ἔσται σου νύμφιος[3]. λοιπὸν[4]— ἄκουσόν μου, Ἀσενέθ, καὶ ἔνδυσαι στολὴν γάμου, τὴν στολὴν τὴν ἀρχαίαν τὴν πρώτην τὴν ἀποκειμένην ἐν τῷ θαλάμῳ σου[4] καὶ περιβαλοῦ τὸν πάντα κόσμον τὸν ἐκλεκτόν σου καὶ κατακόσμησον σεαυτὴν ὡς νύμφην[5] καὶ γενοῦ ἑτοίμη εἰς συνάντησιν αὐτοῦ. ἰδοὺ γὰρ παραγίνεται πρός σε σήμερον καὶ[6]— ὄψεταί σε[6] καὶ χαρίσεται". καὶ ὡς ἐτέλεσεν[7] ὁ ἄνθρωπος λαλῶν[8] τῇ Ἀσενέθ, ἐχάρη[9]— χαρὰν μεγάλην καὶ[9] ἔπεσεν[10]— εἰς τοὺς πόδας αὐτοῦ[10] καὶ εἶπεν αὐτῷ· „εὐλογητὸς κύριος[11] ὁ ἐξαποστείλας σε τοῦ ῥύσασθαί με ἐκ τοῦ σκότους καὶ[12]— ἀναγαγεῖν με εἰς τὸ φῶς,[12] καὶ εὐλογημένον τὸ ὄνομα αὐτοῦ[13] εἰς τὸν αἰῶνα. λαλήσω[14]— δή, κύριε, εἰ εὗρον χάριν ἐνώπιόν σου,[14] κάθησον μικρὸν[15] ἐπὶ τῆς κλίνης[16] καὶ θήσω[17] τράπεζαν καὶ ἄρτον καὶ φάγεσαι, καὶ οἴσω σοι οἶνον[18] καλόν, οὗ ἡ[19]— πνοὴ ἕως τοῦ οὐρανοῦ,[19] καὶ πίεσαι[20] καὶ (127ᵛ) ἀπελεύσῃ τὴν ὁδόν σου".

XVI. Καὶ[21]— εἶπεν αὐτῇ ὁ ἄνθρωπος·[21] „φέρε δή μοι καὶ κηρίον μέλιτος". καὶ[22]— εἶπεν Ἀσενέθ· „ἀποστείλω εἰς τὸν ἀγρὸν τῆς κληρονομίας μου καὶ οἴσω σοι κηρίον μέλιτος". καὶ εἶπεν αὐτῇ ὁ ἄνθρωπος·[22] „εἴσελθε εἰς τὸν θάλαμόν σου καὶ εὑρήσεις κηρίον μέλιτος."[23] καὶ εἰσῆλθεν Ἀσενὲθ[24]— εἰς τὸν θάλαμον αὐτῆς[24] καὶ εὗρεν[25] κηρίον[26]— μέλιτος ἐπὶ τῆς τραπέζης κείμενον[26] καὶ ἦν τὸ[27]— κηρίον[27] λευκὸν ὡσεὶ[28]— χιὼν[28] καὶ πλήρης μέλιτος[29] καὶ ἡ πνοὴ αὐτοῦ ὀσμὴ[30] ζωῆς. καὶ[31]— ἔλαβεν Ἀσενὲθ τὸ κηρίον καὶ ἤνεγκεν αὐτῷ[31]. τους καὶ ἀνέβασέν με ἀπὸ τα θεμέλια τῆς ἀβύσσου. καὶ εὐλογημένον εἶναι τὸ ὄνομά σου, ἄγγελε τοῦ θεοῦ. πλὴν εἰπέ με, τί εἶναι τὸ ὄνομά σου, ἀφέντη, διὰ νὰ σὲ ὑμνῶ καὶ νὰ σὲ ἐδοξάζω". ὁ δὲ ἄγγελος εἶπεν· „τὸ ὄνομα τὸ ἐδικόν μοι ἐν τοῖς οὐρανοῖς ἐστὶν καὶ πρῶτον εἶναι τῶν ἄλλων ἀγγέλων". λέγει τον ἡ Ἀσενέθ· „ἄν ποτε νὰ εἶχα χάριν, ἄγγελε τοῦ θεοῦ, ἀπὸ ἐσένα καὶ νὰ ἐγίνηκαν ὅσα μὲ ἐλάλησας. πλὴν παρακαλῶ σε, ἀφέντη, κάθησον ὀλίγον ἐπὶ τῆς κλίνης μου ταύτης, διότι ἐστὶν αὕτη μου κλίνη καθαρὰ καὶ ἀμίαντος καὶ οὔτε ἀνὴρ οὔτε γυνὴ ἐκάθησεν εἰς αὐτήν, καὶ νὰ φέρω τράπεζαν νὰ τὴν εὐλογήσῃς νὰ συνευφρανθοῦμεν". καὶ ἐκάθησεν ἄγγελος καὶ εἶπε πρὸς τὴν Ἀσενέθ· „σπούδαξε ὀγλήγωρα καὶ κάμνε ὡς καθὼς εἶπας". τότε ἔδραμεν ἡ Ἀσενὲθ καὶ ἔφορεν τράπεζαν ὡραιοτάτην μὲ φαγητὰ διάφορα ἤγουν πολλῶν λογιῶν.

XVI. Καὶ ὡσὰν ἤφερεν τὴν τράπεζαν, λέγει ὁ ἄγγελος πρὸς τὴν Ἀσενέθ· „φέρε με καὶ κάμποσον κερόμελι ἤγουν μέλιν ὃν οποῦ εἶναι ἀκόμι μαζὴ μὲ τὸ κερίν". καὶ ὡς ἤκουσεν ἡ Ἀσενέθ, ἐστάθη λυπουμένη, ὅτι δὲν εἶχεν τὴν ὥραν ἐκείνην τὸ τοιοῦτον φαγητὸν εἰς τὸ κελλίον της. καὶ λέγει την ὁ ἄγγελος· „τί στέκεσαι;" λέγει τον ἡ Ἀσενέθ· „ἀφέντη, ἐδῶ τοιοῦτον πρᾶγμα εἰς τὸ κελλίον μου δὲν ἔχω, ἀμὴ ἐπειδὴ ὁρίζεις νὰ στείλω κανένα παιδὶ νὰ μᾶς φέρῃ, ὅτι τὸ μελισσουργεῖόν (183) μας εἶναι συμά". τότε λέγει αὐτῇ ὁ ἄγγελος· „σῦρε μέσα

---

[1] доб. *διότι ἀδελφή μού ἐστιν.* [2] нт. [3] доб. *καὶ ἀγαπήσει σε.* [4—4] нт. [5] доб. *ἀγαθήν.* [6—6] нт. [7] нт. [8] *ἐλάλησεν.* [9—9] нт. [10—10] *προσεκύνησεν αὐτῷ ἐπὶ πρόσωπον εἰς τὴν γῆν.* [11] доб. *ὁ θεός.* [12—12] нт. [13] *σου.* [14—14] *λαλησάτω δὲ καὶ ἡ παιδίσκη σου πρός σε. καὶ λέγει· εἰπέ. καὶ εἶπεν· δέομαι σου.* [15] нт. [16] доб. *ταύτης. καθαρά ἐστιν, οὐκ ἐκάθησε ἀνὴρ ἐπ' αὐτὴν.* [17] *στήσω σοι.* [18] доб. *παλαιὸν καὶ.* [19—19] *ἡ εὐωδία αὐτοῦ εἰσελεύσει εἰς τὸν οὐρανόν.* [20] доб. *ἐξ αὐτοῦ.* [21—21] *ὁ δὲ λέγει· σπεῦσον, φέρε. καὶ παρέθηκε τράπεζαν αὐτῷ. καὶ ὡς ἐπορεύετο κομίσαι ἄρτον καὶ οἶνον, εἶπεν αὐτῇ ὁ θεῖος ἄγγελος.* [22—22] *ἡ δὲ ἠπόρει καὶ ἐλυπεῖτο, διότι οὐκ εἶχεν ἐν τῷ ταμιείῳ αὐτῆς. καὶ λέγει αὐτῷ ὁ ἄγγελος· τί ἵστασαι; (καὶ εἶπεν)· κύριέ μου, ἀποστείλω παιδάριον εἰς τὸ προάστειον κομίσαι, ἐγγύς ἐστι. καὶ λέγει ὁ ἄγγελος.* [23] доб. *ἐπὶ τῆς τραπέζης κείμενον. ἄρον, κόμισον ἐνθάδε. ἡ δέ· κύριέ μου, ἐν τῷ ταμιείῳ μου οὐκ ἔστιν. καὶ εἶπεν· πορεύου καὶ εὑρήσεις.* [24—24] нт. [25] доб. *καὶ ἐκόμισε.* [26—26] нт. [27—27] *μέγαν.* [28—28] нт. [29] доб. *καὶ ἦν ὡσεὶ δρόσος τοῦ οὐρανοῦ.* [30] *ἡ πνοή.* [31—31] *θαυμάσασα Ἀσενὲθ εἶπε. μὴ τὸ κηρίον τοῦτο ἐκ τοῦ στόματος τοῦ ἀνθρώπου τούτου ὑπάρχει. λαβοῦσα ἔθηκεν ἐπι τῆς τραπέζης.*

καὶ εἶπεν αὐτῇ ὁ ἄνθρωπος·[1] „τί ὅτι εἶπας, ὅτι οὐκ ἔστιν κηρίον μέλιτος ἐν τῷ οἴκῳ μου;[2] καὶ ἰδοὺ ἐνήνοχάς μοι αὐτό“. καὶ εἶπεν αὐτῷ Ἀσενέθ· „οὐκ ἔσχον, κύριε,[3–] κηρίον μέλιτος[3] ἐν τῷ οἴκῳ μου πώποτε, ἀλλ᾽ ὡς εἶπας, γέγονεν. μήτι[4–] γε τοῦτο[4] ἐκ τοῦ στόματός σου ἐξῆλθεν,[5] διότι ἡ πνοή[6–] αὐτοῦ ὡς πνοὴ[6] μύρου ἐστίν“. καὶ[7–] ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ὁ ἄνθρωπος καὶ ἐκράτησεν τὴν κεφαλὴν αὐτῆς καὶ εἶπεν·[7] „μακαρία εἶ σύ, Ἀσενέθ, ὅτι ἀπεκαλύφθη σοι τὰ ἀπόρρητα[8] τοῦ θεοῦ, καὶ μακάριοι οἱ προσκείμενοι κυρίῳ τῷ θεῷ σου ἐν μετανοίᾳ, ὅτι ἐκ τούτου τοῦ κηρίου φάγονται, διότι[9–] το μέλι τοῦτο[9] πεποιήκασιν αἱ μέλισσαι τοῦ παραδείσου τῆς τρυφῆς, καὶ[10–] οἱ ἄγγελοι τοῦ θεοῦ ἐξ αὐτοῦ ἐσθίουσιν,[10] καὶ πᾶς[11–] ὅστις φαγεῖ[11] ἐξ αὐτοῦ οὐκ ἀποθανεῖται εἰς τὸν αἰῶνα“. καὶ[12–] ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ὁ ἄνθρωπος τὴν δεξιὰν καὶ ἀπέκλασεν ἐκ τοῦ κηρίου καὶ ἔφαγεν καὶ ἔδωκεν τῇ χειρὶ αὐτοῦ ἐκ τοῦ κηρίου εἰς τὸ στόμα Ἀσενέθ. καὶ ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ὁ ἄνθρωπος καὶ τὸν δάκτυλον αὐτοῦ ἐνδικτὴν καὶ ἀπέθηκεν εἰς τὸ ἄκρον τοῦ (128) κηρίου τοῦ βλέποντος κατὰ ἀνατολὰς καὶ τὸ εἶδος τοῦ δακτύλου αὐτοῦ ἐγένετο εἰς αἷμα. καὶ ἐξέτεινε τὴν χεῖρα αὐτοῦ τὸ δεύτερον καὶ ἔθηκεν τὸν δάκτυλον αὐτοῦ ἐπὶ τὸ ἄκρον τοῦ κηρίου τοῦ βλέποντος πρὸς βορρᾶν καὶ ἐγένετο τὸ εἶδος τοῦ δακτύλου ὡς αἷμα. καὶ ἐστήκει Ἀσενὲθ ἐξ εὐωνύμων καὶ ἐθεώρει πάντα ὅσα ἐποίει ὁ ἄνθρωπος.[12] καὶ ἀνέβησαν[13] μέλισσαι ἐκ τῶν σίμβλων[14] τοῦ κηρίου[15] καὶ ἦσαν λευκαὶ ὡσεὶ χιὼν καὶ αἱ πτέρυγες αὐτῶν ὡς πορφύρα καὶ ὡς ἰακύνθος καὶ[16–] ὡσεὶ νίματα χρυσοῦ καὶ ἦσαν διαδήματα χρυσᾶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν[16] καὶ[17] κέντρα ὀξέα.[18] καὶ συνεπλάκησαν πᾶσαι αἱ μέλισσαι τῇ Ἀσενὲθ ἀπὸ ποδῶν ἕως κεφαλῆς καὶ ἄλλαι μέλισσαι εἰς τὸ κελίον σου καὶ θέλεις εὕρῃ κηρίον μελίσσης ἀπάνω εἰς τὴν τράπεζαν καὶ ἔπαρε καὶ φέρε το ἐδῶ. καὶ ἐσέβη ἡ Ἀσενὲθ κατὰ τὸν λόγον τοῦ ἀγγέλου εἰς κελίον της καὶ εὗρεν ἀπάνω εἰς τὴν τράπεζαν αὐτῆς ἓν ἀκόμα τι κηρόμελι μεγάλον καὶ λευκότατον ὡσεὶ χιὼν καὶ ἡ εὐωδία του ἦτον ὡσὰν πνοὴ ἀνασαίμου ζωῆς. καὶ ὡς τὸ εἶδεν ἡ Ἀσενέθ, ἐξεπλάγη καὶ ἐθαύμασεν καὶ ἔλεγεν μέσα της· „ἆρά γε τὸ μέλι τοῦτο ἀπὸ τὸ στόμα τοῦ ἀγγέλου ἐβγῆκεν“. καὶ ὅμως παίρνουσα αὐτὸ εἰς τὰς χεῖρας αὐτῆς ἤφερεν αὐτὸ ἐπὶ τῆς τραπέζης. καὶ λέγει την ὁ ἄγγελος· „διὰ τί εἶπες, ὅτι δὲν ἔχεις τοιοῦτον φαγητὸν εἰς τὸ ἀρμάρι σου; καὶ σὺ ἰδὲ τώρα ὁποῦ ἤφερες καὶ εἶναι πολλὰ ὡραιότατον καὶ θαυμαστόν“. καὶ ἐφοβήθη ἡ Ἀσενὲθ καὶ εἶπεν· „ἐγώ, ἀφέντη, μὰ τὸν θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς, τὸ τοιοῦτον φαγητὸν δὲν τὸ εἶχα, μόνον ἐπειδὴ σὺ ἐλάλησας, ἰδὲ ὁποῦ ἐγένετο“. τότε ἔκραξεν ὁ ἄγγελος συμᾶ του τὴν Ἀσενέθ, καὶ ἐλθοῦσα ἔπεσεν εἰς τοὺς πόδας τοῦ ἀγγέλου. καὶ ὁ ἄγγελος ἁπτόχοντας τὸ δεξιόν του χέρι τὸ ἔβαλλεν εἰς τὴν κεφαλὴν τῆς Ἀσενέθ. καὶ ὡς ἐξάπλωσεν τὸ χέρι του, ἐφοβήθη ἡ Ἀσενέθ, ὅτι ἐφαίνοντο ὡσὰν νὰ εὐγένουν σπινθῆρες ἀπὸ σίδηρον πολλὰ πυρωμένον. καὶ ὅμως εὐλόγησεν αὐτὴν ὁ ἄγγελος εἰς τὸν θεὸν τὸν ὕψιστον καὶ ἔκοψεν καὶ ἀπὸ τὸ μέλιν ἐκεῖνο καὶ ἔβαλεν εἰς τὸ στόμα τῆς Ἀσενέθ. καὶ εἶπεν ἄγγελος πρὸς τὴν Ἀσενέθ· „ἰδέ, ὅτι ἔφαγες ἄρτον ζωῆς καὶ ἀπὸ τώρα θέλεις πίῃ καὶ ποτήριον ἀθανασίας. καὶ ἡ νεότης σου θέλει ἀνακαινουργωθῇ ὡς αὐτοῦ ἀετοῦ, ὅτι ἰδοὺ καὶ εἰς πίστωσιν ἔφαγες μέλι ἀπὸ τῶν ἀνθέων καὶ τῶν μελισσῶν τῆς παραδείσου“. αὐτὰ εἶπεν ὁ ἄγγελος πρὸς τὴν Ἀσενέθ. καὶ παρευθὺς ἔπλησεν τὸ κέρι του εἰς τὸ μέλιν ἐκεῖνο καὶ ἐκατεκάη καὶ ἐχάθη. καὶ

---

1 ἄγγελος. 2 σου. 3—3 нт. 4—4 μήποτε. 5 ἐστί. 6 ὀσμή. 7—7 καὶ ἐμειδίασεν ὁ ἄγγελος ἐπὶ τῇ συνέσει αὐτῆς, καλεῖ αὐτὴν πρὸς αὐτὸν καὶ τέθηκε τὴν δεξιὰν ἐπὶ τῆς κεφαλῆς αὐτῆς. καὶ ἐφοβήθη Ἀσενὲθ τὴν χεῖρα, διότι ἐσπινθήριζεν ὡς σίδηρον ἅπτον καὶ κακλάζον. ὁ δὲ μειδιάσας εἶπε. 8 μυστήρια. 9—9 ὅ ἐστι πνεῦμα ζωῆς ὅ. 10—10 τῶν ὄντων ἐν τῷ παραδείσῳ τοῦ θεοῦ καὶ πάντα ἄνθη τοῦ ἐν τῷ παραδείσῳ οὗ ἐσθίουσιν οἱ ἅγιοι ἄγγελοι καὶ πάντες οἱ ἐκλεκτοὶ τοῦ θεοῦ τοῦ ὑψίστου. 11—11 φαγών. 12—12 καὶ λαβὼν ὁ ἄγγελος ἐκ τοῦ κηρίου μέλιτος ἔφαγεν μέρος καὶ τὸ λοιπὸν ἔδωκεν τῇ Ἀσενὲθ καὶ εἶπεν αὐτῇ· φάγε. καὶ ἔφαγεν. καὶ εἶπεν ὁ ἄγγελος· ἰδοὺ ἔφαγες ἄρτον ζωῆς καὶ ποτήριον ἔπιες ἀθανασίας καὶ χρίσματι ἀφθαρσίας ἐχρίσθης. καὶ ἔσῃ εὐλογημένη καὶ δύναμις ἀκαταμάχητος περικυκλώσει σε. καὶ ἡ νεότης σου οὐκ ὄψεται γῆρας καὶ τὸ κάλλος σου οὐκ ἐκλείψει ἀλλ᾽ ἔσῃ παντότε ὡς μητρόπολις τετειχισμένη. καὶ ἔστηκεν ὁ ἄγγελος τὸ κηρίον· 13 ἀνέστησαν πολλαί. 14 μεσαύλων. 15 доб. ἀναρίθμητοι. 16—16 нт. 17 καὶ εἶχον. 18 доб. οὐκ ἀδίκου(ν) τινά.

μεγάλαι[1] ὡς βασίλισσαι ἐκράτησαν[2]– τῇ Ἀσενὲθ ἐπὶ τὰ χείλη.[2] καὶ εἶπεν ὁ ἄνθρωπος ταῖς μελίσσαις· „ὑπάγετε εἰς τοὺς τόπους ὑμῶν“. καὶ[3]– ἀπῆλθον πᾶσαι ἀπὸ τῆς Ἀσενὲθ[3] καὶ ἔπεσον ἐπὶ[4]– τὴν γῆν πᾶσαι[4] καὶ ἀπέθανον. καὶ[5]– εἶπεν ὁ ἄνθρωπος· „ἀπέλθατε[5] δὴ εἰς τὸν τόπον ὑμῶν“. καὶ ἀνέστησαν καὶ ἀπῆλθον[6]– ἅπασαι[6] πρὸς τὴν αὐλὴν τὴν[7]– παρακειμένην τῇ Ἀσενέθ[7].

πάλιν εὐλογήσας αὐτό ἔφερέν το αἰ̣ϩκβκρέθηε πάλιν ὡσὰν καὶ τὸ πρῶτον σῶν καὶ ἀνηλειπές. καὶ πάλιν ἐπρόσταξεν ὁ ἄγγελος νὰ ἔβγουν μέλισσες καὶ παρευθὺς ἐβγῆκαν ἀναρίθμητες ἀπὸ τὰς τρύπας τοῦ μέλιτος. καὶ ἦτον μεγάλον θαῦμα καὶ ὡραοίτατη ξεφάντωσις να ἐβλέπῃς τινάς, ὅτι αἱ μέλισσες ἐκεῖνες ἄλλες ἦσαν ὅλες κόκκινες καὶ χρυσοειδεῖς, ἄλλες λευκαὶ ωσὰν τὸ χίον καὶ τὰ πτερά τους χρυσοκόκκινα καὶ ἄλλες χρυσοπρασίονες. ἀναμέσα δὲ ἐκεῖνας ἦσαν καὶ πολλὲς ὁποῦ ἔδειχναν ὡσὰν νὰ ἐφοροῦσαν στέφανα χρυσά. εἴχασι δὲ καὶ κέντρη πολλὰ ψιλότατα, ἀμὴ δὲν ἀδικοῦσαν τινάν. καὶ ἔτζη ἐπεριεπλάκησαν (183ᵛ) αἱ μέλισσες ἐκεῖνες εἰς τὰ ὡραῖα καὶ μυριστικὰ ἐκεῖνα δένδρα ὁποῦ ἦσαν τρίγυρον εἰς τὸν θάλαμον τῆς Ἀσενέθ.

XVII. Καὶ εἶπεν[8]– ὁ ἄνθρωπος[8] τῇ Ἀσενέθ· „ἑώρακας τὸ ῥῆμα τοῦτο“; καὶ εἶπεν· „ἰδοὺ[9] ἐγὼ[10] ἑώρακα,[10] κύριέ μου, ταῦτα“[11] πάντα[11] καὶ εἶπεν ὁ ἄνθρωπος·[12] „οὕτως ἔσται τὰ ῥήματά μου ἃ ἐλάλησα πρός σε“.[13] καὶ ἥψατο τοῦ κηρίου ὁ ἄνθρωπος καὶ[14] ἀνέβη πῦρ ἀπὸ τῆς τραπέζης καὶ κατέφαγεν τὸ κηρίον.[15] καὶ ἐξῆλθεν ἐκ τῆς καύσεως τοῦ κηρίου εὐωδία καὶ ἔπλησεν τὸν θάλαμον. καὶ εἶπεν πρὸς[16]– τὸν ἄνθρωπον[16] Ἀσενέθ· „εἰσίν, κύριε, σὺν ἐμοὶ ἑπτὰ παρθένοι ὑπερετοῦσαί (128ᵛ) μοι συντεθραμμέναι[17]– μοι ἐκ νεότητός μου, τεχθεῖσαι[17] σὺν ἐμοὶ ἐν μιᾷ νυκτί, κἀγὼ ἀγαπῶ αὐτάς[18], καὶ εὐλογήσῃς αὐτὰς ὡς[19]– κἀμὲ ηὐλόγησας“.[19] καὶ εἶπεν ὁ ἄνθρωπος· „κάλεσον“. καὶ ἐκάλεσεν αὐτὰς Ἀσενέθ.[20]– καὶ ηὐλόγησεν αὐτὰς ὁ ἄνθρωπος καὶ[20] εἶπεν· „εὐλογήσῃ ὑμᾶς ὁ[21] ὕψιστος[22] εἰς τὸν αἰῶνα χρόνων“. καὶ εἶπεν ὁ ἄνθρωπος[23] τῇ Ἀσενέθ· „ἔπαρον τὴν τράπεζαν ταύτην“. καὶ ἐστράφη Ἀσενὲθ τοῦ μεταθῆναι τὴν τράπεζαν. καὶ εὐθέως[24]– ἀπῆλθεν ἐξ ὀφθαλμῶν αὐτῆς ὁ

XVII. Καὶ εἶπεν ὁ ἄγγελος πρὸς τὴν Ἀσενέθ· „πιστεύσεις τὰ λόγιά μου τώρα καὶ γνωρίζεις πῶς εἶναι ἀληθινά;“ λέγει τον ἡ Ἀσενέθ· „πιστεύω, κύριε“. τότε λέγει την ὁ ἄγγελος· „ἰδοὺ λοιπὸν ἀπὸ τοῦ νῦν αἱ μέλισσες αὐτὲς νὰ μὴν λείψουν ἀπεδὼ ἀπὸ τὰ δέδτρα, ὁποῦ εὑρίσκονται εἰς τὸν θάλαμόν σου, οὐδὲ νὰ χαθοῦσιν, ἀλλὰ νὰ εὑρίσκωνται εἰς ὅλην σας τὴν ζωὴν νὰ κάμουν τοιοῦτον μέλι νὰ εὐφραίνεσθε μετὰ τοῦ Ἰωσὴφ εἰς χρόνους ἀγαθοὺς τῆς ζωῆς σας“. τότε πάλιν ἔπεσεν εἰς τὰ ποδάρια τοῦ ἀγγέλου ἡ Ἀσενὲθ καὶ εὐχαρίστησεν αὐτὸν καὶ ἐπαρακάλεσέν τον λέγουσα· „ἀφέντη, δέομαί σου, ἀκόμι τοῦτο, ὅτι ἔχω ἐδὼ μετ᾽ ἐμοῦ ἑπτὰ κόρας παρθένους, ὁποῦ μὲ ὑπερητοῦν καὶ θέλω νὰ τὲς εὐλογήσῃς“. τότε λέγει ὁ ἄγγελος· „ὁ λόγος σου νὰ γένῃ“. καὶ ἦλθον αἱ ἑπτὰ ἐκεῖναι παρθένοι καὶ εὐλογήσας αὐτὰς ὁ ἄγγελος εἶπεν· „ο θεὸς του Ἰσραὴλ ὁ ὕψιστος νὰ εὐλογήσῃ καὶ τὴν Ἀσενὲθ καὶ ἐσᾶς καὶ νὰ σᾶς δώσῃ ζωὴν αἰώνιον“. καὶ αἱ κόραι ἐκεῖνες τὴν μὲν τοῦ φωνὴν τοῦ ἀγγέ-

---

[1] нт. [2—2] *αὐτῶν ἐξανέστησαν ἐπὶ τὸ κηρίον καὶ περιεπλάκησαν ἐπὶ τὰ χείλη Ἀσενὲθ καὶ ἐποίησαν κηρίον ἐπὶ τὰ χείλη αὐτῆς καὶ ἤσθιον αἱ μέλισσαι ἐκ τοῦ κηρίου τοῦ ὄντος ἐν τῷ στόματι αὐτῶν.* [3—3] *καὶ ἐπετάσθησαν εἰς τὸν οὐρανὸν ὅσαι ἐβουλήθησαν ἀδικῆσαι τῆς Ἀσενέθ.* [4—4] нт. [5—5] *καὶ ἐγγίσας τὴν ῥάβδην ὁ ἄγγελος τὰς μελίσσας νεκρὰς εἶπεν· ἀνανστήσαντες ὑπάγετε.* [6—6] *μέρος τῶν πλειόνων αὐτῶν εἰσῆλθε.* [7—7] *καὶ κατεσκήνωσαν ἐν τοῖς καρπίμοις δένδροις τοῖς ἐν τῇ αὐλῇ.* [8—8] *λέγει ἄγγελος.* [9] *ναί.* [10—10] нт. [11—11] нт. [12] *ἄγγελος κυρίου.* [13] доб. *πάντα. τότε ἐξέτεινε τρίτον τὴν δεξιὰν αὐτοῦ.* [14] доб. *εὐθέως.* [15] доб. *τὴν δὲ τράπεζαν οὐκ ἠδίκησεν.* [16—16] *τοῦ ἀγγέλου.* [17—17] *συνομήλικαί μοι.* [18] доб. *ὡς ἀδελφάς. καλέσω αὐτάς.* [19—19] нт. [20—20] нт. [21] *ὁ θεός.* [22] доб. *καὶ ἔσεσθε κίονες καταφυγῆς πόλεων ἑπτὰ καὶ τῶν ἑπτὰ πόλεων σύνοικες ὑφ᾽ ὑμᾶς ἀναπαύσονται.* [23] *ἄγγελος.* [24] см. слѣд. стр. пр. 1—1.

ἄνθρωπος[1] καὶ εἶδεν Ἀσενὲθ ὡς ἅρμα] πυρὸς[2]— ἀναλαμβανόμενον εἰς τὸν οὐρανὸν κατὰ ἀνατολάς.[2] καὶ εἶπεν Ἀσενέθ·[3] ἵλεως ἔσω, κύριε, τῇ δούλῃ σου, διότι[4]— ἐγὼ ἐλάλησα τοῦτο ἐν ἀγνοίᾳ ἐνώπιόν σου"[4].

λου ἤκουσαν, αὐτὸν δὲ τὸν ἄγγελον δὲν τον ἔβλεπαν· παρευθὺς ο ἄγγελος ἐγένετο ἀφανὴς ἀπὸ τὸ πρόσωπον τῆς Ἀσενέθ. καὶ ἀτενίζουσα ἡ Ἀσενὲθ πρὸς τὸν οὐρανόν, εἶδε τὸν ἄγγελον καθεζόμενον ἀφ' ἅρματος πυρίνου ἐξευγμένου μὲ ἄλογα λευκὰ καὶ πτερωτὰ καὶ ἀστράπτοντα ὡς φῶς καὶ ὑπηγένοντα πρὸς οὐρανόν. καὶ ὡς εἶδεν ἡ Ἀσενέθ, ἔπεσεν καὶ ἐπροσκύνησεν τῷ ἀγγέλῳ ἐπὶ τῆς γῆς καὶ αἱ κόραι ἐκεῖνες βλέποντες, πῶς ἐπροσκύνησεν ἡ κυρία τους, ἐπροσκύνησαν καὶ ἐκεῖναι. ἀφόντες δὲ ἐπροσκύνησαν, ἐκαθέζοντο πλησίον τῆς Ἀσενὲθ καὶ ἐδιηγεῖτο αὐταῖς ἡ Ἀσενὲθ ἅπαντα τὰ περὶ τοῦ ἀγγέλου.

XVIII. Καὶ[5]— τούτων γινομένων[5] ἰδοὺ νεανίσκος ἐκ τῆς θεραπείας Ἰωσὴφ λέγων· „ἰδοὺ[6] Ἰωσὴφ ὁ δυνατὸς[7] τοῦ θεοῦ ἔρχεται σήμερον πρός σε."[8] καὶ[9] ἐκάλεσεν Ἀσενὲθ τὸν ἐπάνω τῆς οἰκίας αὐτῆς καὶ εἶπεν[10]· „ἑτοίμασόν μοι δεῖπνον καλόν, ὅτι Ἰωσὴφ ὁ[11]— δυνατὸς τοῦ θεοῦ[11] ἔρχεται πρὸς ἡμᾶς". καὶ[12] εἰσῆλθεν Ἀσενὲθ εἰς τὸν θάλαμον αὐτῆς καὶ ἤνοιξεν τὸ κιβώτιον αὐτῆς καὶ ἐξήνεγκεν τὴν στολὴν αὐτῆς τὴν πρώτην ὡς ἀστραπὴν τῷ εἴδει καὶ ἐνεδύσατο. καὶ περιεζώσατο ζώνην λαμπρὰν καὶ βασιλικήν, καὶ αὕτη ἡ ζώνη διὰ λίθων τιμίων. καὶ περιέθηκεν ταῖς χερσὶν αὐτῆς ψέλλια χρυσᾶ καὶ εἰς τοὺς πόδας ἀναξυρίδας χρυσᾶς καὶ κόσμον τίμιον περὶ τὸν τράχηλον αὐτῆς καὶ χρυσοῦν στέφανον περιέθηκεν ἐπὶ τὴν κεφαλὴν αὐτῆς, καὶ ἐν τῷ στεφάνῳ ἦσαν λίθοι ἔμπροσθεν πολυτελεῖς. καὶ θερίστρῳ ἐσκέπασεν τὴν κεφαλὴν αὐτῆς. (129) καὶ εἶπεν τῇ παιδίσκῃ αὐτῆς· „ἄγαγέ μοι ὕδωρ ἀπὸ τῆς πηγῆς

XVIII. Τῆς δὲ Ἀσενὲθ καθεζομένης μετὰ τῶν παρθένων ἐκείνων καὶ συνομιλούσης ἦλθεν παρευθὺς ἕνα σκλαβόπουλον ἀπὸ τὸ σπίτι τὸ παρακάτω τοῦ Πεντεφρῆ καὶ εἶπεν τὴν Ἀσενέθ· „ἰδέ, κυρία μου, ὁποῦ ἔρχεται ὁ δυνατὸς τοῦ θεοῦ ὁ Ἰωσήφ. τὸ δὲ σκλαβόπουλον ἐκεῖνο τὸ εἶχεν παραγγελμένον ἡ Ἀσενὲθ νὰ τὴν δώσῃ λόγον ὅταν ἔρχεται ὁ Ἰωσήφ. καὶ ὡς ἤκουσεν ἡ Ἀσενέθ, ὅτι ἔρχεται ὁ Ἰωσήφ, ἐχάρη χαρὰν μεγάλην σφόδρα καὶ παρευθὺς ἔκραξεν τὸν τροφέα της ἤγουν τὸν λαλᾶν της καὶ εἶπέν τον· „δράμε ὀγλήγωρα, πατέρα μου, καὶ (184) ἑτοίμασόν με δεῖπνον καὶ φαγητὰ πολλὰ καὶ καλὰ καὶ κάμε τράπεζαν ἐξαίρετον, ὅτι ὁ Ἰωσὴφ ὁ βασιλεὺς ἔρχεται σήμερον πρὸς ἡμᾶς". ὁ δὲ τροφεὺς αὐτῆς, ὡς τὴν εἶδεν πῶς ἦτον τὸ κάλλος της μαραμένον ὀλίγον ἀπὸ τὴν ἐγκράτειαν καὶ νηστείαν τῶν ἑπτὰ ἡμερῶν μὴ ἠξεύροντας τὴν ἀμορφήν, ἐλυπήθη καὶ λαβὼν τὴν χεῖρα τῆς

1—1 ἄφαντος ἐγένετο ὁ ἄγγελος. 2—2 τεσσάρων ἵππων πορευόμενον κατὰ ἀνατολάς, τὸ μὲν ἅρμα ὡσεὶ φλόξ, οἱ δὲ ἵπποι ἀστραπὴ πυρός. 3 дроб. ἄφρων καὶ ἄνους εἰμὶ ἐγὼ ταπεινή, καὶ εἶπον, ὅτι ἄνθρωπος ἦλθε εἰς τὸν θάλαμόν μου ἐκ τοῦ οὐρανοῦ καὶ οὐκ ᾔδειν, ὅτι ὁ θεὸς ἦλθε πρός με. καὶ ἰδοὺ πάλιν πορεύεται εἰς τὸν οὐρανόν. 4—4 нт. 5—5 εὐθέως. 6 ὅτι. 7 ἐκλεκτός. 8 ὑμᾶς. 9 καὶ εὐθέως. 10 дроб. σπεῦσον εὐπρέπησον τὴν οἰκίαν μου καὶ. 11—11 нт. 12 отсюда и до конца главы читается такъ: ἰδὼν δὲ αὐτὴν ὁ ἐπὶ τῆς οἰκίας ἐξεπλάγητο πρόσωπον αὐτῆς συνπεκτωκὸς ἀπὸ τῆς θλίψεως καὶ τοῦ κλαυθμοῦ καὶ νηστείας τῶν ζ ἡμερῶν καὶ λυπηθεὶς ἔκλαυσεν. καὶ λαβὼν τὴν δεξιὰν αὐτῆς χεῖραν κατεφίλησεν καὶ εἶπεν· „τί σοί ἐστιν, κυρία μου, ὅτι οὕτως συνεπέπτωκεν τὸ πρόσωπόν σου;" ἡ δὲ εἶπεν· κεφαλάλγος μου ἔσχεν καὶ ἀγρυπνία". καὶ εὐπρεπήσας δεῖπνον λαμπρὸν κατὰ πάντα, ἡ δ' Ἀσενὲθ ἐμνήσθη τῶν τοῦ ἀγγέλου καὶ εἰσῆλθεν ἐν τῷ θαλάμῳ τῷ μεγάλῳ καὶ ἐξήνεγκεν τὴν στολὴν αὐτῆς τὴν πρώτην ὥσπερ ἀστραπὴν τῷ εἴδει καὶ ἐκοσμήθη ὡς ἄγγελος πολὺ ποίκιλος. καὶ ἰδοῦσα ταύτην Ἀσενὲθ εἰς ἑαυτὴν ἐθαμβήθη ἐπὶ ὁράσει αὐτῆς καὶ ἐχάρη χαρὰν μεγάλην, καὶ οὐκ ἔνιψεν τὸ πρόσωπον αὐτῆς, διότι ἦτον μήποτε νίψον καὶ ἀποπλύνω τὸ κάλλος τοῦ προσώπου μου ὡραῖον. ἦλθεν ὁ ἐκ τῆς οἰκίας αὐτῆς καὶ εἶπεν· „γέγονε ὡς ἐπέταξας". καὶ ἰδὼν αὐτὴν ἐφοβήθη καὶ ἔπεσεν ἐπὶ τοὺς πόδας αὐτῆς καὶ εἶπεν· „ὦ κυρία μου, τί τοῦτο παράδοξον θαῦμα; τίς ἐστὶ ἡ καλονὴ αὕτη ἡ πρός σε περικειμένη, μεγάλη οὖσα καὶ θαυμαστή; μήτι γε κύριος ὁ θεὸς τοῦ οὐρανοῦ ἐξελέξατό σε νύμφην τῷ Ἰωσήφ;" καὶ ἔτι αὐτῶν λαλούντων ἦλθε παιδάριον.

καθαρόν". καὶ ἔκυψεν Ἀσενὲθ εἰς τῷ ὕδατι ἐν τῇ λαχάνῃ ἐπὶ τῆς κόγχης. καὶ ἦν τὸ πρόσωπον αὐτῆς ὡς ὁ ἥλιος καὶ οἱ ὀφθαλμοὶ αὐτῆς ὡς ἑωσφόρος ὁ ἀνατέλλων.

Ἀσενὲθ ἐφίλησεν αὐτὴν καὶ εἶπεν· „τί ἔχεις, ὦ τέκνον μου, καὶ εἶναι τὸ πρόσωπόν σου καὶ τὸ κάλλος σου μαραμένον;" λέγει τον ἡ Ἀσενέθ· „γέροντά μου, πόνος μὲ ἦλθεν βαρὺς εἰς τὴν κεφαλὴν καὶ ἀγρύπνησα καὶ ἐκακοπάθησα καὶ διὰ τοῦτο εἶμαι ἔτζη". ὅτι ὁ μὲν τροφὸς τῆς Ἀσενὲθ ὑπῆγεν νὰ κάμῃ ἐκεῖνο ὁποῦ τὸν ἐπρόσταξεν ὁ Ἀσενέθ. αὐτὴ δὲ Ἀσενὲθ λυπουμένη, πῶς ἤκουσεν, ὅτι τὸ κάλλος αὐτῆς ἦτον μαραμένον, ἔκραξε παρευθὺς μίαν κόρην καὶ τὴν ἔφερεν νερὸν κρύον ἀπὸ τὴν βρύσιν καὶ καθαρὸν καὶ προσκυνήσασα τὸν θεὸν ἐνίφθη. καὶ πιάνουσα τὸν καθρέπτην, νὰ ἰδῇ. βλέπει, ὅτι τὸ κάλλος ἦτον ὡς καὶ τὸ πρῶτον λαμπρώτατον. ἐφοβεῖτο δὲ ἡ Ἀσενὲθ καὶ ἔλεγεν πρωτήτερα πρὸς ἑαυτήν, μήπως καὶ φανῇ ἀσχήμη πρὸς τὸν Ἰωσὴφ καὶ δὲν τὸν ἀρέσῃ. ὡσὰν εἶδε γοῦν τὸ κάλλος της, ἐχάρη καὶ ἐδόξασε τὸν θεόν. καὶ παρευθὺς ἔλαμπροφόρησεν στολιασθεῖσα ἔνδυμα γάμου καὶ χαρᾶς. καὶ ἐζώσθη ζώνην χρυσὴν ὡσὰν βασίλισσα. καὶ εἰς τὸν τράχηλόν της ἐφόρεσεν κολοῦραν μὲ ψέλια χρυσὰ καὶ μὲ περιχρυσομένα (μαρ)γαριτάρια καὶ στέφανον χρυσὸν μὲ πολυτίμους λίθους ἔβαλλεν εἰς τὴν κεφαλήν της. καὶ ἐγένετο νύμφη τοῦ Ἰωσὴφ ἀπαντεχένουσα τὸν ὡραιότατον καὶ ὅμοιον αὐτῆς νύμφιον. καθημένης δὲ τῆς Ἀσενὲθ ἦλθεν ο τροφεὺς αὐτῆς νὰ τὴν εἴπῃ, πῶς ἔκαμεν ἐκεῖνο ὁποῦ τὸν ἐπρόσταξεν. καὶ ὡς τήν εἶδεν εἰς τοσοῦτον ὑπέρλαμπρον κάλλος, ἐξέστη καὶ εἶπεν· „πῶς σοῦ ἦλθεν τὸ τοιοῦτον ἐξαίρετον κάλλος τῆς ὥρας, ὦ τέκνον, τὸ θαυμαστὸν καὶ ἐξάκουστον; ἢ μηνὰ ἔκαμες θυσίαν τὴν θεάτην Ἀφροδίτην;" λέγει τον ἡ Ἀσενέθ· „δὲν θυσιάζω ἐγὼ πλέον τὴν Ἀφροδίτην καὶ τοὺς ἄλλους θεούς, ὁποῦ δὲν εἶναι θεοὶ ἀληθινοί, ἀμὰ θυσιάζω τὸν θεὸν τῶν Ἑβραίων, ὅτι ἐκεῖνος εἶναι ποιητὴς οὐρανοῦ καὶ γῆς καὶ τῶν ἀνθράπων".

XIX. Καὶ ἦλθεν παιὸάριον μικρὸν [1] καὶ εἶπεν πρὸς Ἀσενέθ. „ἰδοὺ Ἰωσὴφ πρὸς ταῖς θύραις τῆς αὐλῆς ἡμῶν[2]". καὶ κατέβη [3] Ἀσενὲθ σὺν ταῖς ἑπτὰ παρθένοις [4] εἰς συνάντησιν τῷ Ἰωσήφ. καὶ [5] ὡς εἶδεν αὐτην Ἰωσηφ,

XIX. Ἐκεῖ δὲ ὁποῦ ἐσυνομίλει ἡ Ἀσενὲθ μετὰ τοῦ γέροντος τοῦ τροφέως αὐτῆς, ἦλθε πάλιν τὸ σκλαβόπουλον ἐκεῖνο καὶ εἶπεν τὴν Ἀσενέθ· „ἴδε, ὁποῦ ἦλθεν, ὦ κυρία μου, ὁ Ἰωσὴφ ὁ βασιλεύς". (184ᵛ) ὡς δὲ ἤκουσεν ἡ

---

[1] нт. [2] доб. ἵσταται. [3] σπεύσας. [4] доб. ἐκ τοῦ ὑπερῴου. [5] отсюда до конца главы читается такъ: *καὶ ἔστη ἐν τῷ δρόμῳ τῆς οἰκίας αὐτῆς. εἰσελθὼν δὲ Ἰωσὴφ ἐν τῇ αὐλῇ ἐκλείσθησαν αἱ πύλαι καὶ ἔμειναν οἱ ἀλλότριοι ἔξω. ἐξῆλθεν Ἀσενὲθ εἰς συνάντησιν τοῦ Ἰωσήφ. καὶ ἰδὼν αὐτὴν ἐθαμβήθη ἐπὶ τὸ κάλλος αὐτῆς καὶ εἶπεν·*

εἶπεν πρὸς αὐτήν· „δεῦρο πρὸς μέ, ἡ παρθένος ἡ ἁγνή, διότι ἐγὼ εὐηγγελίσθη περὶ σοῦ ἐξ οὐρανοῦ, ὅστις εἶπέν μοι πάντα τὰ περί σου“. καὶ ἐξέτεινε τὰς χεῖρας αὐτοῦ Ἰωσὴφ καὶ ἠσπάσαντο ἀλλήλους ἐπὶ πολὺ καὶ ἀνεζωοποίρησαν τῷ πνεύματι αὐτῶν.

Ασενέθ, ἐσπούδαξεν καὶ ἐκατέβη τὴν σκάλαν μετὰ τῶν ἑπτὰ παρθένων αὐτῆς καὶ ἐκροϋπάντησεν τὸν Ἰωσὴφ καὶ ἐχαιρετήθηκε μὲ τὴν Ἀσενὲθ ο Ἰωσήφ. εἶπε δὲ ὁ Ἰωσὴφ. „καὶ ποία εἶσαι ἐσὺ ὁποῦ εἶσαι ἐστολισμένη μὲ τοσοῦτον κάλλος;“ λέγει τον η Ἀσενέθ· „καὶ μήνα δὲν ἐγνωρίζεις, ἀφέντη μου, τὴν δούλην σου τὴν Ἀσενέθ, ἀμὴ θέλεις νὰ μὲ πειράζῃς. ἐγὼ λοιπόν, ἀφέντη μου λαμπρότατε, διὰ ἐδικήν σου ἀγάπην ἐκατατζάκισα ὅλα τὰ εἴδωλα τοῦ θαλάμου μου τοὺς ματαίους θεοὺς καὶ διὰ τὴν ἐδικήν σου ἀφορμὴν ἐσυρθηκα καὶ εἰς τὴν ἐπίγνωσιν τοῦ ἀληθινοῦ θεοῦ τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ ἔκαμα θρῆνον καὶ κλαυθμὸν ἑπτὰ ἡμέρας νηστεύουσα καὶ ἐξομολογουμένη τῷ θεῷ. καὶ ἦλθεν ἀπὸ τοὺς οὐρανοὺς εἰς ἐμένα σήμερον ὥρα δευτέρα τῆς ἡμέρας καὶ ἔδωκέ με ἄρτον ζωῆς καὶ ἔφαγον καὶ ποτήριον ἀθανασίας. εἶπέ μοι δὲ καὶ ὅτι ἀπὸ τὴν σήμερον σὲ ὀΐδω εἰς νύμφην τῷ Ἰωσήφ. εἶπέ με δὲ ὅτι πορεύομαι καὶ πρὸς τὸν Ἰωσὴφ καὶ θέλω τὸν συντύχει περί σου. διὰ τοῦτο ἐγὼ γνωρίζω καλά, ὅτι ὁ ἄγγελος ἐκεῖνος τοῦ θεοῦ ἦλθεν καὶ πρὸς ἐσένα σήμερον. καὶ διὰ τοῦτο εἴσελθε μόνον καὶ εἰς τὸν θάλαμον νὰ ἀνέβωμεν καὶ μὴν πολυπραγμονῇς“. τότε λέγει ὁ Ἰωσήφ· „κατὰ ἀλήθειαν πᾶσαν ἐσύντυχες, ὦ Ἀσενέθ, διότι εὐλογημένη εἶσαι ἐσὺ ἀπὸ τὸν θεὸν τὸν ὕψιστον καὶ ἐπαινεμένον εἶναι τὸ ὄνομά σου εἰς πολὺν καιρόν. ἦλθε γάρ, ὦ φιλτάτη θεωρία, καὶ εἰς ἐμένα σήμερον ὁ ἄγγελος ἐκεῖνος τοῦ θεοῦ καὶ ἐλάλησέν με περί σου. ἄρα λοιπὸν ἔλα πρὸς ἐμένα, ἡ παρθένος, καὶ διὰ τί στέκεσαι ἀπὸ μακρόθεν;“ καὶ ἁπλώνοντας τὰς ἀγγάλλας του ὁ Ἰωσήφ, ἔνευσεν πρὸς τὴν Ασενέθ καὶ ἔκραξεν αὐτὴν νὰ ἔλθῃ συμά του. καὶ ἐξαπλώ-

---

„τίς εἶ σύ, κυρία;“ καὶ εἶπεν· „ἐγώ εἰμι ἡ παιδίσκη σ(ου) Ἀσενέθ“. πόθεν ἡ ὡραιότης τοῦ προσώπου σου ἄπειρος καὶ θαυμαστὴ θαυμάσια; ἐγὼ σήμερον ὁρῶ, ὅτι ὁ θεὸς τοῦ οὐρανοῦ μετά σού ἐστι“. ἡ δὲ πρὸς αὐτόν· „νύμφι μου καὶ ἄνθρωπε τοῦ θεοῦ καὶ τῆς ἐμῆς ψυχῆς ὁδηγέ, πάντα σοι λεπτομερῶς διηγήσω. τὰ εἴδωλά μου χρυσᾶ καὶ ἀργυρᾶ ἀπέρριψα καὶ ἀπόλοντο. καὶ ἦλθεν ἄνθρωπος ἐκ τοῦ οὐρανοῦ καὶ ἔδωκέν μοι ἄρτον ζωῆς καὶ ἔφαγον καὶ ποτήριον ζωῆς καὶ ἔπιον καὶ εἶπε μοι· „δέδωκά σε νύμφιον τὸν Ἰωσὴφ καὶ ἔσται σοι νύμφιος εἰς τὸν αἰῶνα χρόνων. καὶ οὐ κληθήσεται τὸ ὄνομά σου Ἀσενὲθ ἀλλὰ πόλις καταφυγῆς. καὶ κύριος ὁ θεὸς βασιλεύσει ἐθνῶν πολλῶν καὶ διά σου πολλοὶ καταφεύξονται πρὸς τὸν θεὸν ὕψιστον“. ἔτι εἶπε· „πορεύσομαι πρὸς τὸν Ἰωσὴφ λαλῆσαι εἰς τὰ ὦτα αὐτοῦ περί σου“. τότε λέγει Ἰωσήφ· „εὐλογητὴ σὺ τῷ θεῷ τῷ ὑψίστῳ, διότι κύριος ὁ θεὸς ἐθεμελίωσε (τὰ τείχη σου) καὶ υἱοὶ τοῦ ζῶντος θεοῦ ἐνοικήσουσιν ἐν τῇ πόλει τῆς καταφυγῆς σου καὶ κύριος ὁ θεὸς βασιλεύσει εἰς τοὺς αἰῶνας. ὁ γὰρ ἄνθρωπος τοῦ θεοῦ ἦλθε πρός με καὶ εἶπέ μοι περί σου τὰ ῥήματα ταῦτα. καὶ νῦν δεῦρο πρός με, ἡ παρθένος καὶ ἁγνή. καὶ ἵνα τί ἔστηκας μακρόθεν;“ τότε ἐνηγκαλίσατο αὐτὴν ὁ Ἰωσὴφ καὶ Ἀσενὲθ τὸν Ἰωσὴφ καὶ ἠσπάσαντο ἀλλήλους ἐπὶ πολὺ καὶ ἀνεζήσαντο τὰ πνεύματα αὐτῶν ἄμφω. ἵκα ἀσπασάμενος τὴν Ἀσενὲθ ἔδωκεν αὐτῇ πνεῦμα ζωῆς πνεῦμα σοφίας πνεῦμα ἀληθείας.

XX. Καὶ [1] εἶπεν πρὸς [2–] αὐτὸν [2] Ἀσενέθ· „δεῦρο, κύριε, εἴσελθε εἰς τὸν οἰκόν μου“ [3]. καὶ ἐκράτησεν τὴν χεῖρα αὐτοῦ τὴν δεξιὰν καὶ εἰσήγαγεν αὐτὸν εἰς τὴν οἰκίαν αὐτῆς. καὶ ἐκάθησεν Ἰωσὴφ ἐπὶ τοῦ θρόνου Πεντεφρῆ τοῦ πατρὸς αὐτῆς. καὶ ἤνεγκεν ὕδωρ τοῦ νίψαι αὐτοῦ τοὺς πόδας. καὶ λέγει πρὸς αὐτὴν Ἰωσήφ· „ἐλθάτω δὴ ἐκ τῶν παρθένων μία καὶ νιψάτω μου τοὺς πόδας“. καὶ εἶπεν πρὸς αὐτὸν Ἀσενέθ· „οὐχί, κύριε [4], διότι αἱ χεῖρές μου [5] χεῖρές σου [6] καὶ οἱ πόδες μου [5] πόδες σου [6], καὶ [7] οὐ μὴ νίψῃ ἄλλη τοὺς πόδας σου“. καὶ ἐβιάσατο αὐτὸν καὶ ἔνιψεν τοὺς πόδας αὐτοῦ. καὶ ἐκράτησεν τὴν χεῖρα αὐτῆς τὴν δεξιὰν Ἰωσὴφ καὶ κατεφίλησεν αὐτὴν καὶ [8–] Ἀσενὲθ κατεφίλησεν [8] τὴν κεφαλὴν αὐτοῦ [9]. καὶ ἦλθον οἱ γονεῖς Ἀσενὲθ ὅ [10–] τε πατὴρ καὶ ἡ μήτηρ [10] ἐκ τοῦ ἀγροῦ τῆς [11–] κληρονομίας [11] αὐτῶν καὶ εἶδον [12] τὴν [13–] Ἀσενὲθ [13] καθεζομένην μετὰ τοῦ Ἰωσὴφ καὶ ἐνδεδυμένην γάμου [14–] στολὴν [14] καὶ ἐχάρησαν καὶ ἐδόξασαν τὸν θεὸν [15] καὶ ἔφαγον καὶ ἔπιον [16]. καὶ εἶπεν Ἰωσὴφ [17–] πρὸς Πεντεφρῆ [17]· (129ᵛ) „αὔριον ἐγὼ καλέσω τοὺς μεγιστάνας καὶ τοὺς σατράπας Αἰγύπτου [18] καὶ ποιήσω [19–] ὑμῖν [19] γάμους καὶ λήψῃ [20] τὴν Ἀσενὲθ εἰς γυναῖκα. καὶ εἶπεν Ἰωσήφ· „ἀναγγελῶ [21–] δὴ πρότερον τῷ Φαραῶ περὶ τῆς Ἀσενέθ [21], διότι αὐτός ἐστιν πατήρ μου [22], καὶ αὐτὸς δώσει μοι τὴν [23–] Ἀσενὲθ [23] γυναῖκα“ [24]. καὶ ἔμεινεν Ἰωσὴφ τὴν ἡμέραν ἐκείνην παρὰ τῷ Πεντεφρῆ καὶ οὐκ εἰσῆλθεν πρὸς Ασενέθ, διότι ἔλεγεν· „οὐ προσήκει [25] ἀνδρὶ θεοσεβεῖ πρὸ [26–] τῶν γάμων [26] κοιμηθῆναι μετὰ τῆς γυναικὸς αὐτοῦ“.

νουσα καὶ ἡ Ἀσενὲθ τὰς χεῖρας αὐτῆς ἔδραμεν ὡσεὶ περιστερὰ εἰς τὰς ἀγγάλας τοῦ Ἰωσὴφ καὶ περιπλακέντες ἐφιλήθησαν (185).

XX. Καὶ εἶπεν ἡ Ἀσενὲθ τῷ Ἰωσήφ· „ἔλα, ἀφέντη Ἰωσήφ, νὰ σεβοῦμεν εἰς τὸν θάλαμον, διότι ἐγὼ ἑτοίμασα τὸ παλάτιόν μου καλού τζικα, ἔχω καὶ δεῖπνον μέγαν καὶ τράπεζαν ἐξαίρετον. καὶ ἔλα, νὰ συνευφρανθοῦμεν“. τότε πιάνοντας αὐτὴν ὁ Ἰωσὴφ ἀπὸ τὸ χέριν ἐσέβηκαν σὺν αὐτῇ καὶ σὺν ταῖς ἑπτὰ παρθένοις εἰς τὸν θάλαμον. καὶ ἔφερεν νερὸν ἡ Ἀσενὲθ νὰ νίψῃ τοὺς πόδας τοῦ Ἰωσήφ. καὶ εἶπεν ὁ Ἰωσήφ· „ἂς ἔλθῃ μία ἀπὸ τὰς κόρας σου καὶ ἂς νὰ νίψῃ τὰ ποδάριά μου“. καὶ εἶπεν ἡ Ἀσενέθ· „ὄχι, ἀφέντη, διότι ἐσὺ εἶσαι ἀφέντης μου ἀπὸ τώρα καὶ ἐγὼ δούλη σου εἰς πολὺν καιρόν“. καὶ ἀναγκάζουσα αὐτὸν ἡ Ἀσενὲθ ἔνιψεν τοὺς πόδας αὐτοῦ. βλέποντας δὲ ὁ Ἰωσὴφ τὰ χέρια ἐκεῖνα τὰ λαμπρὰ καὶ τὰ δάκτυλα τὰ λεπτὰ καὶ ὡραιότατα ἐχαίρετον μέσα του. ἀφόντες δὲ ἐνίφθη, ἐπῆρεν τὸ χέρι τῆς Ἀσενὲθ καὶ κατεφίλησέν το καὶ ἐκείνη ἐφίλησεν αὐτὸν εἰς τὴν κεφαλήν. ἦλθε δὲ ὁ πατὴρ τῆς Ἀσενὲθ καὶ ἡ μήτηρ αὐτῆς ἀπὸ τὸν ἀγρὸν τῆς κληρονομίας αὐτῶν καὶ ὡς εἶδασι τὴν Ἀσενὲθ εἰς τοσοῦτον κάλλος καὶ ἐνδυμένην ἔνδυμα γάμου ἅμα δὲ καὶ τὸν Ἰωσὴφ πλησίον αὐτῆς καθεζόμενον, ἐθαύμασαν ἅμα δὲ καὶ ἐχάρησαν χαρᾷ ἀνεκλαλήτῳ, δοξάζοντες τὸν θεὸν ἐκεῖνον, ὁποῦ ἔνευσεν εἰς τὴν καρδίαν τῆς Ἀσενὲθ νὰ θελήσῃ τὸν Ἰωσήφ. καὶ ἐλθὼν ὁ Πεντεφρῆς ἐφίλησεν πρῶτον τὸν Ἰωσὴφ εἶτα καὶ τὴν Ἀσενέθ. καὶ ἐκάθησαν εἰς τὴν τράπεζαν χαίροντες καὶ εὐφραινόμενοι. καθεζομένων δὲ εἰς τὴν τράπεζαν καὶ εὐφραινομένων εἶπεν ὁ Πεντεφρῆς πρὸς τὸν Ἰωσήφ· „ἐπειδή, θεόθεν ὁδηγούμενος, λαμπρότατε ἀφέντη, ἠθέλησας τὴν δούλην σου Ἀσενὲθ εἰς γυναῖκα, αὔριον νὰ καλέσω τοὺς μεγιστάνους καὶ τοὺς ἄρχοντας ὅλους νὰ κάμνωμεν τοὺς γάμους νὰ σὲ παραδώσωμεν εἰς νύμφην τὴν Ἀσενέθ, καὶ ἐσὺ

---

1 ὡς ἐπεριεπλάκησαν ἀλλήλους ἔσφιξαν τὰ δέσματα τῶν χειρῶν αὐτῶν. 2 нт. 3 ἡμῶν. ἕτοιμον δεῖπνον μέγαν ἔχω. 4 доб. κἀγὼ σὴ παιδίσκη εἰμί. ἵνα τί σὺ ζητεῖς παιδίσκην ἄλλην, κύριε μου. 5 σου. 6 μου. 7 καὶ ἡ ψυχή μου καὶ. 8—8 αὐτὴ δὲ. 9 доб. καὶ ἐκάθισεν αὐτὴν (ἐκ) δεξιῶν αὐτοῦ. 10—10 нт. 11 τοῦ ἀστείου. 12 εὗρον. 13 αὐτήν. 14—14 ἔνδυμα γάμου καὶ ἐθαμβήθησαν ἐπὶ τὸ κάλλος αὐτῆς. 15 доб. τὸν ζωοποιοῦντα νεκρούς. 16 доб. καὶ εὐφράνθησαν. 17—17 Πεντεφρῆς τῷ Ἰωσήφ. 18 πάσης γῆς. 19—19 ποιήσωμεν. 20 доб. τὴν θυγατέρα μου. 21—21 αὔριον πορεύσομαι πρὸς Φαραῶ τὸν βασιλέα. 22 доб. καὶ κατέστησέ με ἄρχοντα πάσης γῆς Αἰγύπτου καὶ λαλήσω αὐτῷ περὶ Ἀσενέθ. 23 αὐτήν. 24 ὁ δὲ Πεντεφρῆς εἶπεν· πορεύου εἰς εἰρήνην. 25 θέμις ἐστί. 26—26 πρὸς γάμον τοιοῦτον.

εἶναι νὰ εἶσαι αὐτης κύριος καὶ νυμφίος". τότε ἀποκριθεὶς καὶ ὁ Ἰωσὴφ εἶπεν· „ἐπειδὴ ὁ πολυχρονημένος ημῶν βασιλεὺς ὁ Φαραὼ ἀπο θεοῦ ὁδηγούμενος μὲ ἀξίωσεν βασιλέα τῆς Αἰγύπτου, κάμνει χρεία καὶ ἐγώ, ἐπειδὴ ὡς υἱον μὲ ἐτίμησεν, νὰ τὸν συμβουλευθῶ ως πατέρα καὶ μετ' ἐκείνου τὴν βουλὴν νὰ λάβω τὴν Ἀσενὲθ εἰς γυναῖκα". καὶ ἔτζη εὐφράντησαν την νύκταν ἐκείνην εὐφραινόμενοι, ὅ τε Πεντεφρῆς καὶ ἡ γυνὴ καὶ ἡ Ἀσενὲθ μετὰ τῶν παραλίων (?) αὐτῆς συν τῷ (185ᵛ) Ἰωσήφ, καὶ δὲν ἐκοιμήθη μετα τῆς Ἀσενὲθ ὁ Ἰωσὴφ την νύκταν ἐκείνην, ὅτι ἀκόμι δὲν τὴν ἐπῆρεν τελείαν γυναῖκα.

1 **XXI.** Καὶ[1] ὀνέστη Ἰωσὴφ τῷ πρωὶ καὶ ἀπῆλθεν πρὸς Φαραώ. πᾶς ἄνθρωπος, ὃς ποιήσει ἔργον ἐν ταῖς ἑπτὰ ἡμέραις τοῦ γάμου Ἰωσὴφ καὶ τῆς Ἀσενέθ, θανάτῳ ἀποθανεῖται 5 πικρῷ ἄνθρωπος ἐκεῖνος. καὶ γενομένων τῶν γάμων καὶ τοῦ δείπνου τελεσθέντος εἰσῆλθεν Ἰωσὴφ πρὸς Ἀσενὲθ καὶ συνέλαβεν Ἀσενὲθ ἐκ τοῦ Ἰωσὴφ καὶ ἔτεκεν τὸν Μανασσῆ καὶ τὸν Ἐφραὶμ τὸν ἀδελφὸν αὐτοῦ ἐν τῷ οἴκῳ Φαραῶ.

XXI. Ὁ δὲ ταχὺ ἐσηκώθη καὶ ὑπῆγε προς τὸν Φαραὼ καὶ εἶπέν τον· „δός με τὴν Ἀσενὲθ τὴν θυγατέρα τοῦ Πεντεφρῆ εἰς γυναῖκα". καὶ εἶπεν ὁ Φαραώ· „ἂς εἶναι ἀπὸ τώρα γυναῖκά σου εἰς χρόνους πολλους". καὶ ἐμήνυσεν ὁ Φαραὼ τὸν Πεντεφρῆν καὶ ἤφερεν μὲ ἅρμα βασιλικὸν τὴν Ἀσενέθ. καὶ ἰδὼν αὐτὴν ὁ Φαραὼ ἐξέστη ἐπὶ τὸ κάλλος αὐτῆς καὶ λέγει την· „ὁ θεὸς τοῦ Ἰωσὴφ νὰ σὲ εὐλογήσῃ ἐκεῖνος ὁποῦ σὲ ἐδιάλεξεν εἰς νύμφην τῷ Ἰωσήφ". καὶ ἔλαβεν ὁ Φαραω τὸν Ἰωσὴφ καὶ τὴν Ἀσενὲθ καὶ τοὺς ἔβαλεν σιμὰ καὶ ἔβαλλεν εἰς τὰ κεφάλιά τους στέφανα χρυσὰ καὶ ἐστεφάνωσεν αὐτους μέσα εἰς τὸ σπίτι τοῦ Φαραῶ, λέγοντάς τους· „εὐλογημένος εἶναι ὁ ἀφέντης ὁ θεὸς τοῦ Ἰωσήφ, ὁποῦ λέγεται καὶ εἶναι τοῦ Ἰσραήλ, καὶ ἐκεῖνος νὰ σᾶς εὐλογήσῃ καὶ νὰ σᾶς δοξάσῃ εἰς τους αἰῶνας". καὶ ἔτζη ὥρισεν ὁ Φαραὼ καὶ ἔκαμαν φαγητὰ πολὺ ἐξαίρετα καὶ ἔκαμαν χαρὰν εἰς τόν γάμον τοῦ Ἰωσὴφ ἡμέρας ἑπτά. καὶ ὥρισεν ο Φαραὼ καὶ ἔκαμαν διαλαλημόν,

---

[1] XXI гл. читается слѣдующимъ образомъ: *Καὶ τὴν πρωὶ εἰσῆλθεν Ἰωσὴφ πρὸς Φαραὼ καὶ εἶπεν· „δός μοι, πάτερ, τὴν θυγατέρα Πεντεφρῆ ἱερέως Ἡλιουπόλεως εἰς γυναῖκα". ὁ δὲ Φαραὼ ἀκούσας τὸν λόγον τοῦτον ἐχάρην χαρὰν μεγάλην καὶ λέγει· „οὐκ ἰδοὺ αὐτή σου κατεγκυᾶται ἀπὸ τοῦ αἰῶνος. λοιπὸν ἔστω συν γυνὴ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα χρόνων". τότε ἀπέστειλε Φαραὼ καὶ ἐκάλεσε τὸν Πεντεφρῆ καὶ ἤγαγεν τὴν Ἀσενέθ. καὶ ἰδὼν αὐτὴν Φαραὼ ἐθαμβήθη ἐπὶ τὸ κάλλος αὐτῆς καὶ εἶπεν· „εὐλογητὸς ὁ θεὸς τοῦ Ἰωσὴφ καὶ εὐλογήσῃ σε κύριος ὁ θεός. διαμείνῃ τὸ κάλλος σου εἰς αἰῶνας, διότι ἐξελέξατό σε εἰς νύμφην τοῦ Ἰωσήφ". καὶ εὐθέως ἔλαβεν τὸν Ἰωσὴφ καὶ τὴν Ἀσενὲθ καὶ ἔθηκε στεφάνους χρυσοῦς ἐπὶ τὰς κεφαλὰς αὐτῶν, οἵτινες ἦσαν εἰς τὸν οἶκον αὐτοῦ ἐξαρχῆς καὶ ἄνωθεν, ἔστησεν δὲ Φαραὼ τὴν Ἀσενὲθ ἐκ δεξιῶν τοῦ Ἰωσήφ. ἐπιθεὶς δὲ τὰς χεῖράς του ἐπὶ τὰς κεφαλὰς αὐτῶν καὶ εἶπεν· „εὐλογήσῃ ὑμᾶς ὁ θεὸς ὁ ὕψιστος καὶ πληνθύναι καὶ μεγαλύναι καὶ δοξάσῃ εἰς τὸν αἰῶνα χρόνων". τότε ἀπέστρεψε Φαραὼ αὐτοὺς πρὸς ἀλλήλους ἐπὶ τὰ πρόσωπα αὐτῶν καὶ κατεφίλησαν ἀλλήλους. καὶ ἐποίησε Φαραὼ γάμους τῷ Ἰωσὴφ καὶ δεῖπνον μέγαν καὶ πλοῦτον πολὺ ἐν ἡμέραις ἑπτά. καὶ ἐκάλεσεν Φαραὼ πάντας τοὺς βασιλεῖς τῶν ἐθνῶν κυρίου κηρύξας ἐν Αἰγύπτῳ λέγων· „πᾶς ἄνθρωπος, ὃς ποιήσει ἔργον ἐν ζ̄ ἡμέραις τοῦ γάμου Ἰωσὴφ καὶ Ἀσενέθ, θανάτῳ τελευτήσει". καὶ γενομένου τοῦ γάμου καὶ τοῦ δείπνου εἰσῆλθεν Ἰωσὴφ πρὸς Ἀσενὲθ καὶ ἔτεκεν τὸν Μανασσὴν καὶ τὸν Ἐφραὶμ τὸν ἀδελφὸν αὐτοῦ ἐν τῷ οἴκῳ αὐτοῦ.*

ὅτι νὰ μὴν τολμηση καὶ ουλεύση τινὰς ἕως τὰς ἑπτὰ ἡμέρας τῆς χαρᾶς καὶ τῶν γάμων τοῦ Ἰωσὴφ ἀμὴ ὅλοι νὰ συναχθοῦν εἰς τον γάμον. καὶ ἐκάλεσεν πάντας τοὺς ἄρχοντας καὶ τοὺς μεγιστάνους τῆς Αἰγύπτου καὶ ἄλλους βασιλεῖς ἀπὸ ἄλλους τόπους, καὶ ἦλθαν εἰς τὸν γάμον τοῦ Ἰωσήφ. ἔλαβε δὲ ὁ Ἰωσὴφ τοιουτοτρόπως τὴν Ἀσενὲθ εἰς νόμιμον γυναῖκα καὶ ἐκοιμήθη μετ' αὐτῆς. ἔκαμε δὲ δύο υἱοὺς ὁ Ἰωσὴφ μετὰ τῆς Ἀσενὲθ τὸν Μανασσῆ καὶ τὸν Ἐφραίμ. καὶ ἐχάρη μετ' αὐτῆς πολλοὺς χρόνους ἐν ἀγαθοῖς.

XXII. Καὶ [1]– ἐγένετο μετὰ ταῦτα καὶ [1] παρῆλθον τὰ ἑπτὰ ἔτη τῆς εὐθηνίας καὶ ἤρξαντο τὰ ἑπτὰ ἔτη τῆς λιμοῦ. καὶ ὡς ἤκουσεν Ιακὼβ περὶ Ἰωσὴφ τοῦ υἱοῦ αὐτοῦ, εἰσῆλθεν εἰς Αἴγυπτον σὺν πάσῃ τῇ συγγενείᾳ αὐτοῦ καὶ ἐν τῷ δευτέρῳ [2]– μηνὶ μιᾷ καὶ εἰκάδι [2] τοῦ μηνὸς κατῴκησεν ἐν γῇ Γεσέμ. καὶ εἶπεν Ἀσενὲθ πρὸς Ἰωσήφ· „πορεύσομαι καὶ [3]– ὄψομαι [3] τὸν πατέρα σου, διότι ὁ πατήρ σου Ἰσραὴλ πατήρ μού ἐστιν“ [4]. καὶ εἶπεν αὐτῇ Ἰωσήφ· „πορευσάμεθα [5]– ἅμα“. [5] καὶ ἦλθεν Ἰωσὴφ καὶ Ἀσενὲθ ἐν γῇ Γεσὲμ [6] καὶ ἀπήντησαν αὐτοῖς οἱ ἀδελφοὶ Ἰωσὴφ ἐν [7]– γῇ Γεσὲμ [7] καὶ προσεκύνησαν [8] ἐπὶ τὴν γῆν. καὶ [9]– ἦλθον πρὸς Ἰακὼβ καὶ εὐλόγησεν αὐτοὺς καὶ κατεφίλησεν αὐτούς [9]. καὶ ἐκρεμάσθη Ἀσενὲθ ἐπὶ τὸν τράχηλον τοῦ [10]– πατρὸς [10] αὐτοῦ Ἰακωβ [11] καὶ κατεφίλησεν αὐτόν. (130) καὶ μετὰ [12]– ταῦτα [12] ἔφαγον καὶ ἔπιον. καὶ [13]– ἐπορευθησαν ὅ τε Ἰωσὴφ καὶ Ἀσενὲθ εἰς τὸν οἶκον αὐτῶν καὶ προέπεμψαν αὐτοὺς Συμεὼν καὶ Λευΐ, διότι ἐφθόνουν οἱ ἐχθραίνοντες, [13] καὶ ἦν Λευΐ (ἐκ) δεξιῶν Ἀσενὲθ καὶ Συμεὼν ἐξ εὐωνύμων. καὶ ἐκράτησεν Ἀσενὲθ τὴν χεῖρα Λευΐ, διότι ἠγάπα αὐτὸν [14] ὡς ἄνδρα προφήτην καὶ θεοσεβῆ καὶ

---

[1]—[1] *καὶ ως.* [2]—[2] *ἔτει τοῦ λιμοῦ ἐν τῷ μηνὶ τῷ δευτέρῳ μιᾷ καὶ δεκάδι.* [3]—[3] *ἰδεῖν.* [4] доб. *καὶ θεός.* [5]—[5] *πορεύσῃ σὺν ἐμοί.* [6] доб. *πρὸς Ἰακώβ.* [7]—[7] нт. [8] доб. *αὐτοὺς ἐπὶ πρόσωπον.* [9]—[9] *τότε οὖν εἰσῆλθον ἀμφότεροι πρὸς Ἰακὼβ καὶ εὗρον αὐτὸν καθήμενον ἐπὶ τῆς κλίνης αὐτοῦ. καὶ ἦν πρεσβύτερος ἐν γήρᾳ λιπαρῷ. ἰδοῦσα δὲ Ἀσενὲθ τὸν πατέρα αὐτῆς Ἰακὼβ ἐθαμβήθη ἐπὶ τοῦ κάλλους αὐτοῦ, διότι ἦν Ἰακὼβ ὡραῖος τῷ εἴδει σφόδρα καὶ τὸ γῆρας αὐτοῦ ὥσπερ νεότης ἀνδρὸς ὡραίου καὶ ἡ κεφαλὴ αὐτοῦ λευκὴ ὡσεὶ χιών καὶ ἡ θρὶξ πικρὰ καὶ ἀμφιλαφή, αἱ δὲ τοῦ πόγονος αὐτοῦ μέχρι τοῦ στήθους, οἱ ὀφθαλμοὶ αὐτοῦ χαροποιοί, καὶ οἱ πόδες αὐτοῦ ὡσεὶ γίγαντος. καὶ πεσοῦσα προσεκύνησεν αὐτὸν ἐπὶ πρόσωπον εἰς τὴν γῆν. εἶπεν δὲ Ἰακὼβ πρὸς Ἰωσήφ· „αὕτη ἐστὶ ἡ νύμφη μου ἡ γυνή σου, τέκνον, εὐλογητὴ ἔσται τῷ θεῷ τῷ ὑψίστῳ“. καὶ εὐλόγησεν αὐτὴν καὶ κατεφίλησεν.* [10] нт. [11] нт. [12] нт. [13]—[13] *καὶ ὥδευσαν οἴκαδε. συνωδεύσασιν αὐτοὺς Συμεὼν καὶ Λευΐ οἱ υἱοὶ Λίας μόνοι, οἱ υἱοὶ Βάλης καὶ Ζέλφας τῶν παιδίσκων Λίας καὶ Ραχὴλ οὐ συνώδευσαν αὐτούς, διότι ἐφθόνησαν αὐτοὺς καὶ ἐμίσησαν αὐτούς.* [14] доб. *σφόδρα ὑπὲρ πάντας τοὺς ἀδελφούς.*

φοβουμενον τὸν κύριον. καὶ αὐτὸς ἑωρα γράμματα γεγραμμένα ἐν τῷ οὐρανῷ καὶ ἀνεγίνωσκεν αὐτὰ[1]— καὶ ἀπεκάλυπτεν αὐτὰ τῇ Ἀσενὲθ κρυφῇ[1], καὶ ἑώρα Λευὶ τὸν τόπον τῆς καταπαύσεως αὐτῆς ἐν τοῖς ὑψίστοις.

XXIII. Καὶ ἐγένετο ἐν τῷ παριέναι τὸν Ἰωσὴφ καὶ τὴν Ἀσενέθ, εἶδεν αὐτοὺς ἀπὸ τοῦ τείχους ο υἱὸς Φαραῶ ὁ πρωτότοκος[2]. καὶ[3]— ἰδὼν τὴν Ἀσενὲθ[3] ἐμμανὴς ἐγένετο ἐπ'[4]— αὐτὴν διὰ τὸ ὑπερβάλλον κάλλος αὐτῆς. καὶ απέστειλεν ο υἱὸς Φαραῶ ἀγγέλους καὶ προσεκαλέσατο τὸν Συμεὼν καὶ τὸν Λευΐ. καὶ ἦλθον πρὸς αὐτὸν καὶ ἔστησαν ἐνώπιον αὐτοῦ. καὶ λέγει αὐτοῖς ὁ υἱὸς Φαραῶ[4]· „γινώσκω ἐγώ, ὅτι ἐστὲ ὑμεῖς ἄνδρες δυνατοὶ ὑπὲρ πάντας ἀνθρώπους[5]— ἐπὶ τῆς γῆς[5] καὶ ἐν ταῖς δεξιαῖς ὑμῶν κατέστρεπται ἡ πολις Συκιμητῶν καὶ ἐν ταῖς δυσὶ ρομφαίαις υμῶν κατεκόπησαν τριάκοντα χιλιάδες ἀνδρῶν πολεμιστῶν. καὶ ἰδοὺ ἐγὼ λήψομαι ὑμᾶς εἰς[6]— βοήτειαν ἐμὴν σήμερον[6] καὶ δώσω ὑμῖν χρυσίον πολὺν καὶ ἀργύριον καὶ παῖδας καὶ παιδίσκας καὶ[7]— οἴκους[7] καὶ κληρονομίας μεγάλας, καὶ[8]— ἄρασθε[8] μοι καὶ ποιήσατε μετ' ἐμοῦ ἔλεος, διότι ἐνυβρίσθην ἐγὼ παρὰ τοῦ ἀδελφοῦ ὑμῶν Ἰωσήφ, ἐπειδὴ[9]— ἔλαβεν αὐτὸς τὴν Ἀσενὲθ εἰς γυναῖκα[9] καὶ αὕτη ἐμοὶ κατηγγυᾶτο ἀπαρχῆς. καὶ νῦν δεῦτε σὺν ἐμοὶ καὶ πολεμήσω ἐγὼ (130[v]) πρὸς Ἰωσὴφ καὶ ἀποκτενῶ αὐτὸν ἐν τῇ ρομφαίᾳ μου καὶ λήψομαι Ἀσενὲθ εἰς γυναῖκα, καὶ ἔσεσθε υμεῖς ἀδελφοί μου[10]— καὶ φίλοι μου εἰς τέλος[10]. εἰ δὲ μὴ ἀκούσητέ[11]— μου τῶν ρημάτων[11], ἀποκτενῶ υμᾶς ἐν τῇ ρομφαίᾳ μου". καὶ ταῦτα[12]— εἰπὼν[12] ἐγύμνωσεν τὴν ρομφαίαν αὐτοῦ καὶ ἔδειξεν αὐτοῖς. ὁ δὲ Συμεὼν ἦν ἀνὴρ θαρσὺς καὶ τολμηρὸς καὶ εἵλκυσεν τὴν ρομφαίαν αὐτοῦ ἐκ τοῦ[13]— κολεοῦ αὐτῆς[13] καὶ ἤθελεν πατάξαι τὸν υἱὸν Φαραῶ.[14] καὶ ἔγνω Λευὶς τὴν ἐνθύμησιν Συμεών[15], διότι ὁ Λευὶς ἦν ἄνθρωπος προφητης καὶ[16]— προεώρα πάντα τὰ μέλλοντα γενέσθαι[16]. καὶ ἐπάταξεν Λευὶς τὸν[17]— πόδα τὸν δεξιὸν τοῦ Συμεών[17] καὶ ἔθλιψεν αὐτὸν καὶ[18]— ἐσήμηνεν αὐτῷ[18] τοῦ παύσασθαι τὴν

XXIII. Ὁ δὲ υἱὸς τοῦ Φαραῶ ὁ πρωτότοκος ἡμέρᾳ τῇ βλέποντας τὸν Ἰωσὴφ μὲ τὴν Ἀσενὲθ ἀπὸ τοῦ παραθυρίου ἐτρώθη τον ἔρωτα της Ἀσενέθ, καὶ εἶχε πολλὴν ἀγάπην καὶ ἐπιθυμίαν κατ' αὐτῆς καὶ πολλὲς φορὲς κρυφίως ἐπιβουλεύετο τὸν Ἰωσὴφ να τον φονεύσῃ νὰ πάρῃ αὐτὸς τὴν Ἀσενέθ, ὅμως δὲν ἐδύνετο νὰ τὸ κάμῃ. καὶ αὐτὸ δὲν τὸ ἤξευρεν ὁ Ἰωσήφ, οὐδὲ πῶς ἀγαπᾷ ἐκεῖνος τὴν Ἀσενὲθ οὐδὲ πῶς ἐπιβουλεύεται καὶ αὐτόν.

1—1 *αὐτὸς τῇ Ἀσενὲθ κρυφά, διότι ὁ Λευὶ ἠγάπα τὴν Ἀσενὲθ πάνυ.* 2 Дов. *ἀπερχομένων πρὸς Ἰακώβ.* 3—3 НТ. 4—4 *πρὸς Ἀσενέθ. ὡραία ἦν σφόδρα. καὶ κράξας Συμεὼν καὶ Λευὶ καὶ λέγει αὐτοῖς.* 5—5 НТ. 6—6 *ἐμαυτῷ εἰς ἑταίρους.* 7—7 НТ. 8—8 *μόνον συναγωνίσασθε.* 9—9 *διὰ τὴν Ἀσενέθ.* 10—10 *εἰς φίλους πιστοὺς καὶ ἀδελφούς.* 11—11 НТ. 12—12 НТ. 13—13 *τῆς μικῆς.* 14 Дов. *διότι σκληρὰ ἐλάλησεν.* 15 *τῆς καρδίας αὐτοῦ.* 16 НТ. 17—17 *αὐτὸς εἰς τὸν δεξιὸν πόδα.* 18—18 НТ.

ὀργην αυτοῦ καὶ εἶπεν πρὸς αὐτὸν Λευΐς· „ἵνα τί σὺ ἐθυμώθης κατ' [1]— αὐτοῦ, διότι ἡμεῖς ἀνδρὸς θεοσεβοῦς παῖδές ἐσμεν; [1] καὶ οὐ προσήκει [2] ἀνδρὶ [3]— θεοσεβεῖ [3] ἀποδοῦναι κακὸν ἀντὶ κακοῦ τῷ [4]— πλησίον αὐτοῦ [4]. καὶ εἶπεν Λευὶς πρὸς [5]— τὸν πλησίον αὐτοῦ τὸν υἱὸν Φαραῶ [5] πραείᾳ [6] τῇ καρδίᾳ καὶ [7]— ἱλαρῷ τῷ προσώπῳ [7]· „ἵνα τί σύ, κύριέ μου, λαλεῖς τὰ [8]— ῥήματα ταῦτα [8] ἐνώπιον [9]— ἡμῶν [9]; καὶ ημεῖς ἐσμὲν ἄνδρες θεοσεβεῖς καὶ ο πατὴρ ἡμῶν ἐστὶν δοῦλος [10] τοῦ θεοῦ τοῦ ὑψίστου καὶ ὁ Ἰωσὴφ ὁ ἀδελφὸς ἡμῶν ἀγαπητός [11]— ἐστιν τῷ θεῷ [11]. καὶ πῶς ποιήσωμεν τὸ πονηρὸν τοῦτο [12] ἐναντίον [13]— τοῦ θεοῦ; καὶ νῦν ἄκουσον ημῶν [13] καὶ φύλαξαι ἔτι τοῦ λαλῆσαι περὶ τοῦ ἀδελφοῦ ἡμῶν Ἰωσὴφ ταῦτα [14]— τὰ ῥήματα. εἰ δὲ ἐπιμένῃς εἰς τὴν βουλὴν ταύτην τὴν πονηράν [14], ἰδοὺ αἱ ρομφαῖαι ἡμῶν ἐσπασμέναι [15]— ἐνώπιόν σου". καὶ εἵλκυσαν τὰς ρομφαίας αὐτῶν [15] ἐκ τῶν κολεῶν αὐτῶν [16] καὶ εἶπον· „ἑώρακας [17] τὰς ρομφαίας ταυτας [18]—; ἐν αὐταῖς ἐξεδίκησεν [18] κύριος ὁ θεὸς τὴν ὕβριν τῶν [19]— (131) υἱῶν Ἰσραήλ, ἣν ἐποίησαν Συκιμῆται [19] διὰ τὴν ἀδελφὴν ἡμῶν Δῖνα, ἣν ἐμίανεν ἐν Συχὲμ ὁ υἱὸς Ἐμμώρ". καὶ εἶδεν [20] ὁ υἱὸς Φαραῶ τὰς ρομφαίας αὐτῶν [21]— ἐσπασμένας καὶ [21] ἐφοβήθην καὶ ἐτρόμαξεν [22] καὶ ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν ὑποκάτω τῶν ποδῶν αὐτῶν. καὶ ἐξέτεινε [23] Λευὶς τὴν χεῖρα αὐτοῦ καὶ [24]— ἀνέστησεν αὐτὸν λέγων [24]· „μὴ [25]— φοβηθῇς [25] πλὴν φύλαξαι τοῦ λαλῆσαι κατὰ τοῦ ἀδελφοῦ ἡμῶν πονηρά" [26]. καὶ ἐξῆλθον ἀπ' [27]— αὐτοῦ ἀφέντες αὐτὸν τρέμοντα καὶ φοβούμενον [27].

XXIV. Καὶ ἐβαρεῖτο [28]— ὁ υἱὸς Φαραῶ καὶ ἐλυπεῖτο σφόδρα διὰ Ἀσενὲθ καὶ ἔπασχε κακῶς. καὶ εἶπον πρὸς αὐτὸν [28] οἱ παῖδες αὐτοῦ εἰς τὸ οὖς αὐτοῦ [29]— λέγοντες [29]· „ἰδοὺ υἱοὶ Βάλλας καὶ Ζέλφας [30] Λίας καὶ Ραχὴλ γυναικῶν Ἰακὼβ ἐχθραίνουσι [31]— τῷ Ἰωσὴφ καὶ τῇ Ἀσενὲθ καὶ φθονοῦσι αὐτούς [31], καὶ οὗτοι ποιήσουσι [32]— κατὰ

1—1 *πρὸς τοῦτον; ἡμεῖς ἐσμὲν θεοσεβεῖς.* 2—2 *θέμις.* 3—3 НТ. 4—4 НТ. 5—5 *μετὰ παρρησίας τῷ υἱῷ Φαραῶ.* 6 *ἐν πραοτάτῃ.* 7—7 НТ. 8—8 *τοιαῦτα.* 9—9 НТ. 10 *φίλος.* 11—11 *ἐστὶ ὡς υἱὸς τοῦ θεοῦ.* 12 доб. *ῥῆμα τῆς ἁμαρτίας.* 13—13 *ἐνώπιον κυρίου καὶ ἀδελφοῦ ἡμῶν Ἰωσήφ; οὐ προσήκει ἀνδρὶ θεοσεβεῖ ἀδικεῖν ἄνθρωπόν τινα εἰς οὐδένα τρόπον.* 14—14 *εἰ δὲ πράξεις τι.* 15—15 НТ. 16 доб. *Συμεὼν καὶ Λευΐ.* 17 *ἰδέ.* 18—18 *ὅτι.* 19—19 *Συκιμιτῶν ὑβρισάντων τοὺς υἱοὺς Ἰσραήλ.* 20 *ἰδών.* 21—21 НТ. 22 *ἠμαυρώθη ἡ ὄψις αὐτοῦ.* 23 *κρατήσας.* 24—24 *ἤγειρεν αὐτὸν καὶ λέγει αὐτῷ.* 25—25 *ἀνάστα καὶ μὴ φοβοῦ.* 26 *τι πονηρὸν ἔτι.* 27—27 НТ. 28—28 *ἐμαίνετο σφόδρα πάλιν διὰ τὴν Ἀσενέθ. τότε λέγουσι αὐτῷ.* 29—29 НТ. 30 доб. *παιδισκῶν.* 31 *καὶ μιαίνονται τὸν Ἰωσὴφ καὶ Ἀσενὲθ μισοῦσι.*

